428 οὗτοc Ar., νὴ Δί᾽ Leo, quod lacunam bene explere iudicat Lef.; οἰμώξεται — βίον suppl. Ar. coll. Harp. et Suid. s. v. ματρυλεῖον = fr. 177 K. **429** καταφθαρεῖcθε Harp. codd. A, B, C καταφθαρεὶc ἐν N **430** suppl. Lef. **431** δ᾽ οὐδέ lacunam non explere monet Lef., in charta erat ni fallor δὲ οὐδέ; γινωcκων p., γινώcκειν K., cf. Eup. fr. 180 K. **431$_2$** suppl. Lef. **431$_5$** δέ μοι δοκεῖ Lef. **431$_9$** suppl. Lef. **431$_{16}$** suppl. K.

........................ω· τρόπῳ
......................τά̣την ἁπλοῦν
........................καὶ ψάλτρια
........................κύβου̣ τύχω·
......................πολ]λὰ χαιρέτω
......................πολλ[ὴ]ν ἐγώ
......................ων ἐκ τῆϲ ἐ̣μῆ[ϲ
......................γ]ί̣νε̣[ται
......................η μοι μόνη
........................ει.....
..........................ϲ̣ω̣

V_2 X_2 (V) versus fere 8 desunt

τε.........................
πα.........................
κα.........................
Ϲμ. Χα̣[ρίϲιε..................
Χαρ. ν̣ο̣υ̣..................
μ̣ε.........................
....
ϲ̣..........................
....
α..........................
ει̣.........................
ειν̣.........................

431_{19} ΤΟ̣ΤΗΝ vel ΤΑ̣ΤΗΝ Lef. 431_{21} ΚΥΒΟΙ certum esse dicit Lef., ego in imagine potius ΚΥΒΟΥ̣ dispicio 431_{24} post Є̣ΜΗ̣ nullum vestigium dispexit Lef. 431_{27} ̣ΙЄΙΚ̣ valde dub. Lef. 431_{28} fortasse unum versum secutum esse ex marginis altitudine concludit Lef.

431_{18} τῳ· τρόπῳ Lef. 431_{19} το τὴν ἁπλοῦν Lef. $431_{9, 23, 24}$ suppl. Lef. $431_{22, 25, 32}$ suppl. K.

ὦ Ἡρ[άκλειϲ . . . .
ἀπίωμ[εν . . . .
μικροῦ . . . .
πρώην ἀρ̣᾽ . . . .
ἐ̣πάνωθ[εν . . . .
ἔγωγ᾽ ἀπόλ̣[ωλα . . . .
ὀκνηρὸ[ϲ . . . .
Ϲμ̣ι. ἔπειτα δ[ὴ . . . .
θυγατέρα . . . .
τέτοκε κ . . . .
(Χα.) λαβόντ᾽ ἀ̣[παγαγεῖν . . . .
παρακαλ[εϲ . . . .
διακονε . . . .
(Ϲμί.) Χαρ[ίϲιε . . . .
τὸ φ . . . .

deesse videntur versus fere 70

. . . . [τὸ παιδίον]
H_1(R)(Aβ.) ἔξειμ᾽ ἔχουϲα· κλαυμυρίζεται τάλαν
πάλαι γάρ· οὐκ οἶδ᾽ ὅ τι κακὸν πέπονθέ μοι.
(Πα.) τίϲ ἂν θεῶν τάλαιναν̣ ἐ̣λ̣εήϲειέ με;
A]βρ. ὦ φίλτατοι θ̣ε̣ο̣[ί], ... ϲ̣ εἰμ̣ι . . . ρ̣α̣
καὶ . . . . : (Πα.) π̣ο̣ρεύϲομαι.

De pagina H_1 misere lacerata et detrita optime meritus est Jensenius, quem plerumque secutus est Lefeburius **435** ΤΟΙ (vel Ν) [Θ̣Ε̣Ο̣].Π̣Ε̣. . . . .[Ρ̣]ΕΙ[Μ̣.Τ̣]. .ΡΑ Jen. de litteris cancellis saeptis valde dubitans, ΤΟΙ.Ε̣. . . . . .Ϲ̣ΕΙΜ̣Ι̣. . .Ρ̣Α̣ Lef. **436** Κ̣Α̣Ι . . . . . [Ε̣Δ̣Η̣Ϲ̣Ε̣Ι̣]. . . . . : Π̣Ο̣ΡΕΥϹ̣ΟΜΑ̣Ι̣ Jen., Κ̣ΑΙ . . . . Π̣Ο̣Ε̣ . . . . ˙Π̣Ο̣ΡΕΥ ϹΟΜΑΙ Lef.

431_{41} sqq. supplementa Lefeburii sunt, praeter **$431_{51,\ 54}$** ubi ego incerta temptavi **432** κλαυμυρίζεται cf. Phot. s. v. **433** πάλαι γάρ cum sequentibus coniungit Leeuw. **434** in hac scaena Pamphilam ipsam, non Sophronam cum Abrotono agere cognovit Jen. **435** θεοί Ar. Leo; ϲφόδρα Ar. Leo, sed spatium obstat

(Αβ.) μ̣ι̣κ̣ρ̣ὸ̣ν̣ γύν̣αι πρ̣όcμειν̣ο̣ν. (Πα.) ἐ̣μὲ καλε̣ῖ̣c; (Αβ.) ἐγώ.
(Πα.) α̣ὕ̣[τη] τ̣ί̣ς̣ [ἐcτι; cύ] γ̣' [ἐ]μ̣ὲ γινώcκειc γ̣ύναι;
(Αβ.) α̣ὐ̣τ̣ή 'cτι, ν̣ῦ̣ν̣ ἔ̣γ̣ν̣ω̣κ̣α· χαῖρε φιλτάτη·
ἄ]γ̣[ε] . . . . δ̣[εῦ]ρό μοι τὴν c̣ὴ̣ν̣ δίδου.
λέγε μοι γλυκε̣ῖ', ὃ πέρυcιν . . . . ἐ̣μ̣ο̣ί̣
τοῖc Ταυροπ̣ο̣λίοιc ἔ̣τ̣[ι] . . . .
(Πα.) γύναι πόθεν ἔχειc, εἰπ̣έ μοι, τὸ π̣αιδί̣[ον
λ]αβοῦc'; (Αβ.) ὁρᾷc τι φιλτάτη cοι γνώριμ̣ο̣ν̣
ὦν] τοῦτ' ἔχει; μηδέν με δείcῃc ὦ γύναι.
(Πα.) οὐ̣κ̣ [ἔ]τεκεc αὐτὴ τοῦτο; (Αβ.) προcεποιηcάμην,
οὐχ ἵν' ἀδικήcω τὴν τεκοῦcαν, ἀλλ' ἵνα
κατὰ cχολὴν εὕροιμι. νῦν δ' — εὕρηκα· cέ
ὁρῶ γὰρ ἣν καὶ τότε. (Cω.) τίνοc δ' ἐcτὶν πατρόc;
(Αβ.) Χαριcίου. (Παρ.) τοῦτ' οἶcθ' ἀκριβῶc φιλτάτη;
(Αβ.) ἐcτ]ὶ̣ν̣ ἐ[πίδηλο]ν̣· οὐ cὲ τὴν νύμφην ὁρῶ
τὴν ἔνδον οὖcαν; ναίχι, μακαρία γύναι,

437 in fine post εγω unum punctum dispexerunt Jen. Lef. **438** [c̣]...τι[c̣].....[γ̣.μ̣]εγιν̣ωcκειcγυναι Jen., ο̣υ̣............ εγινωcκειc.υναι: Lef. **439** α̣υ̣τ̣ηcτινυ̣ν̣ε̣γ̣[ν̣]ωκ̣α Jen., α̣υ̣τ̣η̣cτιν .....κ̣α Lef. **440** .γ..........τ̣αδ̣..ρο Jen., γ̣.....ε̣υ̣.....δ̣ ..ρο Lef. **441** οπερυcιν[η̣]...εc̣ (vel π̣) ε‾c̣μ̣c̣ι̣ Jen., οπερυcι.... ε̣c̣ο̣..εμ̣.. Lef **442** ε̣γ̣[..ι̣ ..ε̣..α̣λ̣λ̣.ν·] Jen., επι............ Lef. **444** γνωριμο̣ν̣ Jen., γνωριμ.. Lef. **445** ..τουτ' Jen., ...τουτ' K. Lef. **446** ο.κ.τεκεc Jen., ουκ̣..εκεc Lef. K. **448** νυνδ:ευρηκαcε Jen. Lef., νυνδ'ευρηκαcε K. **451** ...ιν̣ε..... [ν̣]ουcε Jen., ...ε̣.......'ουc̣ε Lef. cε correctum esse ex γε suspicans

438 αὕτη — ἐμέ dub. K. **439** αὐτή cum Cappsio malo quam αὕτη; νῦν ἔγνωκα Jen. **440** ἄγε K.; δεῦρο Ar.; post μοι distinxit Sud. vertens „huc propius accede, tuam invicem porrigens manum" **441** ἐμοί K. **442** ἔτι K. **443** τὸ παιδίον Head. **444** λαβοῦc' Lef. **445** ὦν Lef.; γνώριμον; πῶc τοῦτ ἔχει; Sud. **446** suppl. Lef. **451** suppl. K., ἀφ' οὗ Leo **452** :ναιχι: p., cum Housmanno totum versum Abrotono dedi; post οὖcαν signum interrogationis ponunt Capps Leeuw.

θεῶν τις ὑμᾶς ἠλέησε. — τὴν θύραν
τῶν γειτόνων τις ἐψόφηκεν ἐξιών.
εἴσω λαβοῦσα μ' ὡς σεαυτὴν εἴσαγε,
ἵνα καὶ τὰ λοιπὰ πάντα μου πύθῃ σαφῶς.
Ον. ὑπομαίνεθ' οὗτος, νὴ τὸν Ἀπόλλω, μαίνεται,
μεμάνητ' ἀληθῶς, μαίνεται, νὴ τοὺς θεούς·
τὸν δεσπότην λέγω Χαρίσιον. χολὴ
μέλαινα προσπέπτωκεν ἢ τοιοῦτό [τι.
τί γὰρ ἄν τις [εἰκ]άσειεν ἄλλο γεγονέ[ναι;
πρὸς ταῖς θύραις γὰρ ἔνδον ἀρτί[ως πολὺν
χρόνον διακύπτων ἐνδ[ιέτριβεν ἄθλιος
ὁ πατὴρ δὲ τῆς νύμφης τι περὶ [τῆς συμφορᾶς
ἐλάλει πρὸς ἐκείνην, ὡς ἔοιχ', ὁ δ' [ὡς πυκνά
H_2 (V) ἤλλαττε χρώματ' ἄνδρες οὐδ' εἰπεῖν καλόν.
„ὦ γλυκυτάτη", δέ, „τῶν λόγων οἵους λέγεις",

457 in margine sinistro ΟΝ/ K. Jen., .Ν/ Lef., in finibus huius et sequentis versus singula puncta dispexit Jen., quae omittit Lef. 461 ...ΑϹЄΙЄΝ Jen., ...ϹЄΙЄΝ Lef.; ΓЄΓΟΝЄ... Jen., ΓЄΓΟΝ.... Lef. 463 ЄΝΔ (vel Λ, Χ) Jen., ЄΝ. Lef. 464 ΠЄΡΙΙ Lef., ΠЄΡΙΙ Jen. qui ultimam litteram Τ fuisse posse testatur, potius Κ vel Ν agnovit K.

Ro.; ναίχι Sophronae (immo Pamphilae) dant Lef. Ar. Ro., Abrotono Leeuw.

453 τὴν θύραν — ἐξιών Sophronae (Pamphilae) dedit Leo; cf. schol. Ar. Nub. 132 et Suidas s. v. κόπτειν = fr. 861 K. 458 totum versum delevit Diels, sed postquam initio Jen. dispexit μεμάνητ', iam non est cur eum expungamus 460 τοιοῦτό τι Ro., τοιουτονί Croi., τοιοῦτον, ἤ Leo 461 τί — εἰκάσειεν Croi. K., γεγονέναι Capps, Sud., τὸ γεγονός Rich., ἀλλ' ὃ γέγον' ἐρῶ Leo, ἄλλο γέγον' ἔτι Croi. 462 ἀρτίως πολύν Leo, συχνὸν ἦν Ar. 463 ἐνδιέτριψεν ἄθλιος Ro., ἐντετακὼς τ' ἀκοὰς πάνυ Ar., ἐν ταραχαῖς ἦν περιφανῶς Sud. 464 τῆς συμφορᾶς Sud., κακώσεως Ar., περὶ τοῦ πράγματος Croi., περιοργῶς πάνυ Wil., περὶ τἀνδρὸς κακόν Hous., περὶ τοῦ δεσπότου Ro. 465 suppl. Wil.

ἀνέκραγε τὴν κεφαλήν τ᾽ ἀνεπάταξε cφόδρα
αὑτοῦ· πάλιν δὲ διαλιπών· „οἵαν λαβὼν
γυνα[ῖ]χ᾽ ὁ μέλεος ἠτύχηκα.“ τὸ δὲ πέρας·
ὡς πάντα διακ[ο]ύcαc ἀπῆλθ᾽ εἴcω ποτέ,
βρυχηθμὸc ἔνδον, τιλμός, ἔκcταcιc cυχνή·
„ἐγὼ γὰρ ἀλιτήριοc“, πυκνὸν πάνυ
ἔλεγεν, „τοιοῦτον ἔργον ἐξειργαcμέ[ν]οc
αὐτὸc γεγονώc τε παιδίου νόθου πατὴρ
οὐκ ἔcχον, οὐδ᾽ ἔδωκα cυγγν[ώμ]ηc [μέ]ροc
οὐθὲν ἀτυχούcῃ ταὔτ᾽ ἐκείνῃ, βάρβαροc
ἀνηλεήc τε“. λοιδορεῖτ᾽ ἐρρωμένωc
α]ὑτῷ βλέπει θ᾽ ὕφαιμον ἠρεθιcμένοc.
πέφρικ᾽ ἐγὼ μέν, αὗόc εἰμι τῷ δέει·
οὕτωc ἔχων γὰρ αὐτὸν ἂν ἴδῃ μέ που
τὸν διαβαλόντα, τυχὸν ἀποκτείνει[ε]ν ἄν.
διόπερ ὑπεκδέδυκα δεῦρ᾽ ἔξω λάθρᾳ.
καί ποῖ τράπωμαί γ᾽; ε⟨ἰ⟩c τί βουλῆc; οἴχομαι,
ἀπόλωλα· τὴν θύραν πέπληχεν ἐξιών.
Ζεῦ cῶτερ, εἴπερ ἐcτὶ δυνατόν, cῷζέ με.
Χαρ. ἐγώ τιc ἀναμάρτητοc, εἰc δόξαν βλέπων,
καὶ τὸ καλὸν ὅ τί ποτ᾽ ἐcτὶ καὶ ταἰcχρὸν cκοπῶν,
ἀκέραιοc, ἀνεπίπληκτοc αὐτὸc τῷ βίῳ —
εὖ μοι κέχρηται καὶ προcηκόντωc πάνυ
τὸ δαιμόνιον, ἐνταῦθ᾽ ἔδειξ᾽· „ἄνθρωποc ὤν

476 ϹΥΓΓΝ.[Μ]Η[Ν] .Ρ[ΩΝ] Jen., ϹΥΓΓΝ .ΗϹ (vel Ν)..ΡΩ (vel Ο)Ϲ (vel Ν) Lef. **479** .ΥΤΩ Jen., ..ΤΩ Lef.

---

468 θ᾽ ἅμ᾽ ἐπάταξε Head. Leeuw **476** cυγγνώμηc μέροc Leeuw., quod non sine dubitatione recepi, cυγγώμην παρὼν Sud., ἐγώ Eit. **477** ταὐτ᾽ Sud. **478** τ᾽· ελοιδορειτ᾽ pap., τε· λοιδορεῖτ᾽ Ar. alii **479** αὑτῷ Ar. Wil. **489** cf. Eur. Or. 922 ἀκέραιοc, ἀνεπίπληκτον ἠcκηκὼc βίον **490** κεχρηται corr. ex κεκρηται p. **491** ἔδειξ᾽ ἄνθρωποc ὤν coniungunt Lef. Leo

ὦ τριϲκακόδαιμον μεγάλα φυϲᾷϲ καὶ λαλεῖϲ;
ἀκούϲιον γυναικὸϲ ἀτύχημ᾽ οὐ φέρειϲ;
αὐτὸν δὲ δείξω ϲ᾽ εἰϲ ὅμοι᾽ ἐπταικότα.
καὶ χρήϲετ᾽ αὐτή ϲοι τότ̣᾽ ἠπίωϲ, ϲὺ δέ
ταύτην ἀτιμάζειϲ· ἐπιδειχθήϲει θ᾽ ἅμα
ἀ]τυχὴϲ γεγονὼϲ καὶ ϲκαιὸϲ ἀγνώμων τ᾽ ἀνήρ.
ὅμοι]ά γ᾽ εἶπεν οἷϲ ϲὺ διενόου τότε
πρὸϲ] τὸν πατέρα· κοινωνὸϲ ἥκειν τοῦ βίου
παρ᾽ ἄνδρα κ]οὐ δεῖν τἀτύχημ᾽ αὐτὴν φυγεῖν
τὸ ϲυμβ]εβη̣κ̣όϲ. ϲὺ δέ τιϲ ὑψηλο̣ὸϲ ϲφόδρα“

U₂ (V) minus 20 versus deesse videntur

. . . . ἐ̣γὼ μὲν οὔ:
. . . . νὴ τ]ὸν Δία
. . . . αὖθ᾽ οὕτω ϲφόδρα
. . . . ωϲ ὁμολογῶ:
. . . . πρὸ]ϲ ἐμὲ βλέπει
. . . . ρ̣ι̣δ̣ . . . α̣ι̣ε . . . ε̣

desunt pauci versus

Q₂ (V) . . . . ο̣ϲ̣ επειράθη[ϲ] . . .
(Αβ.) . . . . . . ε]ἴ̣ϲει, νὴ τὸν Ἀπόλλω [καὶ θε]ο̣ύ̣[ϲ.
(Χα.) πῶϲ ϲύ μ]ε περιϲπᾶιϲ, ἱερόϲυλε; (Αβ.) μὴ μάχου,

501₁ fragmentum U undique mutilatum eiusdem folii atque Q esse censet Lef. **501₆** primae litterae incertissimae, tertia ᴀ̣ vel ᴀ̣ Lef.; ultima littera ε valde incerta Lef. **502** ο̣ϲ̣]ΕΠΕΙΡΑΘΗ Jen. Ε̣Ξ̣Ε̣ΠΕΙΡΑΘΗ Lef. **503** ΙϹΕΙΝ.ΤΟΝΑΠΟΛΛΩ. . . . .Ο̣Υ̣.: Jen., .ϹΕΝ.ΤΟΝΑ ΠΟΛΛΩ. . . . . .: K. Lef. **504** initio 6 litteras deesse contendit Jen.

492 καιμεγαλα p., μεγάλα deleto καί Lef., μέγα Leeuw. Leo **498** ὅμοια Ar. alii **500** παρ᾽ ἄνδρα κοὐ Hous., πάντωϲ ἄρ᾽ οὐ Capps, τοῦ δ᾽ ἀνδρὸϲ οὐ Leeuw., ϲοὶ μηδέ ϲου Ar., οὐκ ἆρά ϲου Bod. Maz., πρῶτον δέ γ᾽ οὐ vel καὶ νῦν μὲν οὐ Eit., κοινωνὸν οὐ Croi. **501** τὸ ϲυμβεβηκόϲ Ar. **501₂** sqq. supplementa mea sunt **501₃** αυτουτωϲφοδρα p. quod aut αὖ τούτῳ ϲφόδρα aut αὖθ᾽ οὕτω ϲφόδρα esse potest **503** εἴϲει K.; καὶ θεούϲ Jen., τουτονί K. **504** πῶϲ ϲύ με Hen., τί ϲύ με dub. Jen., τί δέ με Lef.

μωρό]τατε· τῆϲ γαμετῆϲ γυναικόϲ ἐϲτί ϲου
τέκνον] γ[ά]ṛ, οὐκ ἀλλότριον. (Χα.) εἰ γὰρ ὤφελεν.
(Αβ.) νὴ τὴν] φίλην Δήμητρα. (Χα.) τίνα λόγον λέγειϲ;
(Αβ.) πάντωϲ] ἀληθῆ. (Χα.) Παμφίληϲ τὸ παιδίον
τοῦτ' ἐϲτ]ί; (Αβ.) ν⟨αί⟩, καὶ ϲόν γ' ὁμοίωϲ. (Χα.) Παμφίληϲ;
'Αβρότο]ṿον ἱκε[τ]εύω ϲε, μ̣[ή] μ̣' ἀναπτέρου
U_1 (R) desunt versus minus 20
ἐπάρχọụ . . . .
ὄντωϲ ạβ . . . .
ἀλλ' ἐξαπατ . . . .
Ον. ἀπέϲωϲε ϲυμ̣[μαχοῦϲ' ἐμοί . . . .
ἔγωγẹ προϲ . . . .
. . ạṿ . . . .
pauci versus deesse videntur
(Ον.) . . . . ṿωḳ
Χ[αι]ρ̣[έϲτρ]ατ'· (Χαι.) ἥδε τὸ μετὰ τα[ῦτα φροντιεῖ,
ὅπῳϲ̣ [δια]μενεῖϲ ὢν Χαριϲίῳ [ϲύ γε

507 in fine puncta geminata fuisse suspicatur Lef. 509 „initio desunt 7 vel 8 litterae, quarum ultima, si parvulo litterae vestigio fidem habere licet, rotunda erat" Jen.; ΟΜΟΙΩϹ Jen., ΟΜΟ . . Ϲ Lef. 510 ΑΝΑΠΤ̣ΕΡΟΥ Jen., ΑΝΑΠ . ΕΡΟΥ Lef. K. 510_1 ultima littera valde incerta Lef. 510_2 Α̣ valde incertum Lef. 510_4 ΣΥΜ̣ (vel Α̣) Lef. 511 ΛΩΚ Lef., sed in imagine satis clare Ν cernitur 512 Χ . . Ρ̣ . . . . Α̣Τ' Jen., Χ . . . . Α̣Τ' Lef.

505 μωρότατε K. 506 τέκνον γάρ K., τουτί Wil., δῆλον γάρ Croi. 507 νὴ τήν Head. Hen. 508 πάντωϲ K. Ro., ὄντωϲ Leeuw., ἐγὼ τόν vel (Χα.) τάλαιν'· (Αβ.) ἀληθῆ Sud. 509 τοῦτ' ἔϲτιν Ar., ἔϲτι; (Αβ.). ναί K., τοδί ϲ' ἔχειν; Sud., ϲαφῶϲ (vel ὄντωϲ) ἄρ' ἦν; (Αβ.) καὶ ϲόν γ' Leeuw. 510 suppl. Lef. 510_1 sqq. Onesimum cum Pamphila colloqui putat Lef., mihi cum Chaerestrato eum loqui satis certum videtur 510_2 'Αβρότονον Lef., fort. ἀβέλτερον 510_3 ἐξαπατῶϲα Lef. 510_4 ϲυμμαχοῦϲα Lef.; ἐμοί K. 511 ὦ, νὴ τὸν 'Απόλλω Ro. 512 Χαιρέϲτρατ' Sud.; μετὰ ταῦτα Leo 513 διαμενεῖϲ Ell. Sud.; ϲύ γε Sud., πάνυ K., τὸ πᾶν Leo, φίλοϲ Ar. Ell.

οἷόςπẹρ ἦcθα πιcτόc. οὐ γάρ ἐc[τ᾽ ἄφρον
ἑταιρίδιον τοῦτ᾽ οὐδὲ τὸ τυχὸν [ἐπλάcατο,
cπουδῇ δὲ καὶ παιδάριον ἤḍ᾽ ẹ̓[γνώριcεν.
(Ον.) ἐλεύθεροc, πάξ· μὴ βλέπọị[μ᾽, εἰ προcεδόκων.
(Χαι,) κ[α]ὶ πρῶτον αὐτọ̀ṿ κατὰ μόν[αc ὁρᾶν θέλω
τὸν φίλτατον καὶ τὸν γλυκύτατ[ον ὑιδοῦν

H_3 (V) desunt versus fere 70

(Χαι.?) cώρφονα, τοιαυτηcὶ γὰρ οὐκ ἀπέcχετ᾽ ἂν
ἐκεῖνοc, εὖ τοῦτ᾽ οἶδ᾽, ἐγὼ δ᾽ ἀφέξομαι.
Cμι. ἂν μὴ κατάξω τὴν κεφαλήν cου Cωφρόνη
κάκιcτ᾽ ἀπολοίμην. νουτεθήcειc καὶ cύ με;
προπετῶc ἀπάγω τὴν θυγατέρ᾽ ἱερόcυλε γραῦ;
ἀλλ᾽ ἢ περιμένω καταφαγεῖν τὴν προῖκά μου
τὸν χρηcτὸν αὑτῆc ἄνδρα; καὶ λόγουc λέγω
περὶ τῶν ἐμαυτοῦ; ταῦτα cυμπείθειc με cύ;
οὐκ ὀξυλαβῆcαι κρεῖττον; οἰμώξει μακρά,
ἂν [ἔτ]ι λαλῇc τι. κρίνομαι πρὸc Cωφρόνην;
μετάπειcον αὐτήν, ὅταν ἴδῃc. οὕτω τι μοι

516 ΠΑΙΔΑΡΙΟΝΗΔ̣Ε̣ Jen. cui dub. assentitur Lef. 517 post ΠΑΞ puncta geminata exstitisse putat Jen., servatum est unum; ΒΛΕΠΟ̣. Lef., ΒΛΕΠΟΙ K. 529 ΑΝ..Ι K., desintne 2 an 3 litterae dubitat Lef.

---

514 οιcθα p., ἦcθα Ar.; ἄφρον K., ἁβρόν Ar., ἐcτὶ δή Lef., ἔcτ᾽ ἔτι Sud., ἐcτί coι Capps 515 ἑταιριδίου Herw.; ἐπλάcατο K., παιδίον Herw., τὸ βρέφοc Ell., ἣν πάλαι Sud. 516 ἤδ᾽ ἐγνώριcεν Hen., ἐξεῦρε νῦν Jen. 517 suppl. K., (Χα.) μὴ βλέποιc κάτω Sud. 518 αυτ̣ηṿ p. quod tenet Sud., αὐτόν Lef.; κατὰ μόναc Ar. Croe. Her.; ὁρᾶν K., βλέπειν θέλω Croe., cκοπεῖν θέλω Ro., Χαρίcιον Capps, λάβ᾽ ὠλέναιc Herw., πρόcειπε καί Sud. 519 alterum τὸν induxit Ro.; ὑιδοῦν Wil., Χαρίcιον Ro., παῖδα νῦν Sud., οὐχ ὁρᾷc Herw., παῖδά μου λαβών Capps 525 αλλα p., ἀλλ᾽ ἢ K. Wil., ἀλλ᾽ οὐ Leo, ἀλλ᾽ οὖν Eit. Ell.; περιμενῶ Lef., περιμείνω Cr. Head. Herw. 529 ἔτι Ar. Leo, ἀντιλαλῇc Wil.

ἀγαθὸν γένοιτο Cωφρόνη γάρ, οἴκαδε
ἀπιών — τὸ τέλμ' ⟨ε⟩ἶδες παριοῦς'; ἐνταῦθά cε
τὴν νύκτα βαπτίζων ὅλην ἀποκτενῶ,
κ̣[ἀ]γώ cε ταὔτ' ἐμοὶ φρονεῖν ἀναγκάcω
καὶ [μ]ὴ cταcιάζειν. ἡ θύρα παιητέα,
κεκλειμένη γάρ ἐcτι. παῖδες, παιδίον,
ἀνοιξάτω τις. παῖδες, οὐχ ὑμῖν λέγω;
Ον. τίς ἐcθ' ὁ κόπτων τὴν θύραν; ὦ Cμικρίνης
ὁ χαλεπός, ἐπὶ τὴν προῖκα καὶ τὴν θυγατέρα
ἥκων. (Cμι.) ἔγωγε, τριcκατάρατε. (Ον.) καὶ μάλα
ὀρθῶc· λογιcτικοῦ γὰρ ἀνδρὸc καὶ cφόδρα
φρονοῦντος ἡ cπουδή. (Cμι.) τό θ' ἅρπαcμ', Ἡράκλειc,
θαυμαcτὸν οἷον· πρὸc θεῶν καὶ δαιμόνων —.
(Ον.) οἴει τοcαύτην τοὺc θεοὺc ἄγειν cχολήν,
ὥcτε τὸ κακὸν καὶ τἀγαθὸν καθ' ἡμέραν
νέμειν ἑκάcτῳ Cμικρίνη; (Cμι.) λέγειc δὲ τί;
(Ον.) cαφῶc διδάξω c'· εἰcὶν αἱ πᾶcαι πόλειc,
ὅμοιον εἰπεῖν, χίλιαι· τριcμύριοι
οἰκοῦc' ἑκάcτην· καθ' ἕνα τούτων οἱ θεοί
ἕκαcτον ἐπιτρίβουcιν ἢ cῴζουcι; πῶc;
λέγειc γὰρ ἐπίπονόν τιν' αὐτοὺc ζῆν̣ [βίον.
„οὐκ ἆρα φρον[τί]ζουcιν ἡμῶν ο̣ἱ̣ θ̣[εοί;"

531 ΟΙΚΑΔЄ K., ΟΙΚΑΔΪ corr. ex ΟΙΚΑΔЄ Lef. 552 ΗΜΩΝ[Ο̣]Ι̣Θ̣ Jen., ΗΜΩΝ.ⁱ Lef.

531 Cωφρόνην Wil. 532 ἴδεc p.; ἀπίτω Leo, ἀπίω Eit. 534 κἀγώ Lef., χοὔτω vel κἴcωc Wil.; cοι p., cε Ar. alii 542 τό θ' — οἷον Onesimo dat Leeuw., τὸ δ' Bod. Wil. 544 οἴει — Cμικρίνη Elias in Arist. Cat. (Comm. in Aristot. XVIII 1) p. 112 Busse, οἴει — ἑκάcτῳ Ioann. Philop. de aetern. mun. p. 583 Ra. = fr. 174 K. 550 :πωc p., πῶc — βίον Onesimo continuavit Rich. 551 suppl. Lef. 552 οἱ θεοί Ar. Rich.; cf. Theoph. adv. Autol. 2, 8 = fr. 752 K., οὐκ ἆρα φροντίζει τις ἡμῶν ἢ μόνος θεός

φήϲειϲ. — ἑκάϲτῳ τὸν τρόπον ϲυν̣[ῴκιϲαν
φρούραρχον ἔνδο̣[ν]· οὗτοϲ ἕτ̣[ερον μὲν κακῶϲ
ἐπέτριψεν, ἂν αὐτῷ κακῶϲ χρῆ[ϲθαι δοκῇ,
H₄ (R) ἕτερον δ' ἔϲωϲεν. οὗτόϲ ἐϲθ' ἡμῖν θεόϲ,
ὅ τ' αἴτιοϲ καὶ τοῦ καλῶϲ καὶ τοῦ κακῶϲ
πράττειν ἑκάϲτῳ· τοῦτον ἱλάϲκου ποῶν
μηδὲν ἄτοπον μηδ' ἀμαθέϲ, ἵνα πράττῃϲ καλῶϲ.
(Ϲμι.) εἶθ' οὑμὸϲ ἱερόϲυλε νῦν τρόποϲ ποεῖ
ἀμαθέϲ τι; (Ον.) ϲυντρίβει ϲε. (Ϲμι.) τῆϲ παρρηϲίαϲ.
(Ον.) ἀλλ' ἀπαγαγεῖν παρ' ἀνδρὸϲ αὐτοῦ θυγατέρα
ἀγαθὸν ϲὺ κρίνειϲ Ϲμικρίνη; (Ϲμι.) λέγει δὲ τίϲ
τοῦτ' ἀγαθόν; ἀλλὰ νῦν ἀναγκαῖον. (Ον.) θεῷ,
τὸ κακὸν ἀναγκαῖον λογίζεθ' οὗ[τ]οϲί.
τοῦτον τίϲ ἄλλοϲ, οὐχ ὁ τρόποϲ ἀπολλύει;
καὶ νῦν μὲν ὁρμῶντ' ἐπὶ πονηρὸν πρᾶγμά ϲε
ταὐτόματον ἀποϲέϲωκε· καὶ καταλαμβάνειϲ
διαλλαγὰϲ λύϲειϲ τ' ἐκείνων τῶν κακ̣[ῶ]ν.
αὖθιϲ δ' ὅπωϲ μὴ λήψομαί ϲε Ϲμικρίνη
προπετῆ, λέγω ϲοι· νῦν δὲ τῶν ἐγκλ[η]μάτων
ἀφίεϲο τούτων, τὸν δὲ θυγατριδοῦν λαβὼν
ἔνδον πρόϲειπε. (Ϲμι.) θυγατριδοῦν, μαϲτιγία;

554 ΕΝΔΟ̣.ΕΤ̣.. K., de τ dubitat Lef., qui hastam transversam et deinde hastam verticalem dispicere sibi videtur

553 ϲυνῴκιϲαν Sud., ϲυνήρμοϲαν Lef. 554 ουτοϲενδο̣[ν p., ἔνδον· οὗτοϲ Voll., qui confert Sen. ep. 41, 2 „sacer intra nos spiritus sedet, malorum bonorumque nostrorum observator et custos. hic prout a nobis tractatus est, ita nos ipse tractat"; ἕτερον μέν Lef., κακῶϲ Ar. Head. Wil. 555 χρῆϲθαι δοκῇ Sud., χρήϲηθ' ἑκών Leeuw., χρήϲητ' ἄγαν Wil.. χρήϲηθ' ἅπαξ Bod., χρῆϲθαι θέλῃ Head. K., αὐτῷ κ. χρήϲηθ' ὅλωϲ Croi. 562 ϲαυτου p., αὐτοῦ Leo, ϲαυτοῦ παρ' ἀνδρόϲ Head. 564 θεα p., θεῶ Ro., θεοί Rich., θεά Ar., θεᾷ Lef. 572 αφειϲο corr. ex αφεεϲο p., ἀφεῖϲο tenent Leeuw. alii, ἀφίεϲο Lef.

(Ον.) παχύδερμοϲ ἦϲθα καὶ ϲύ, νοῦν ἔχειν δοκῶν·
οὕτωϲ ἐτήρειϲ παῖδ' ἐπίγαμον; τοιγαροῦν
τέραϲιν ὅμοια πεντάμηνα παιδία
ἐκτρέφομεν. (Ϲμι.) οὐκ οἶδ' ὅ τι λέγειϲ. (Ον.) ἡ γραῦϲ δέ γε
οἶδ', ὡϲ ἐγῷμαι. τότε γὰρ οὑμὸϲ δεϲπότηϲ
τοῖϲ Ταυροπολίοιϲ — (Ϲμι.) Ϲωφρόνη. (Ον.) ταύτην λαβών
χορῶν ἀποϲπαϲθεῖϲαν — αἰϲθάνει γε; (Ϲμι,) ναί.
(Ον.) νυν⟨ὶ⟩ δ' ἀναγνωριϲμὸϲ αὐτοῖϲ γέγονε καί
ἅπαντ' ἀγαθά. (Ϲμι.) τί φηϲιν ἱερόϲυλε γραῦ;
(Ϲω.) „ἡ φύϲιϲ ἐβούλεθ', ᾗι νόμων οὐδὲν μέλει·
γυνὴ δ' ἐπ' αὐτῷ τῷδ' ἔφυ". (Ϲμι.) τί, μῶροϲ εἶ;
(Ϲω.) τραγικὴν ἐρῶ ϲοι ῥῆϲιν ἐξ Αὔγηϲ ὅλην
ἂν μήποτ' αἴϲθῃ Ϲμικρίνη. (Ϲμι.) ϲύ μοι χολήν
κ]ινεῖϲ παθαινομένη. ϲὺ γὰρ ϲφόδρ' οἶϲθ' ὅ τι
οὗτο]ϲ λέγει νῦν; (Ϲω.) οἶδα ⟨πάντ'⟩· εὖ ἴϲθ' ὅτι
ἡ γραῦ]ϲ π̣ροτέρα ϲυνῆκε. (Ϲμι.) πάνδεινον λέγειϲ.
οὐ γέγ]ο̣ν̣ε̣[ν] εὐτύχημα μεῖζον οὐδὲ ἕν,
εἰ τοῦ]τ' ἀληθέϲ ἐϲθ' ὃ λέγειϲ. τὸ παιδίον

588 ΟΙΔΑ̣.ΕΥ Jen. quod legi posse concedit Lef. ipse scribens ΟΙΔ..ΕΥ 590 .....Ο̣Ν̣.. Jen., ...Ν̣Ε̣. K. Lef.

576 πεντέμηνα mavult Her. secundum Phrynichum p. 412 Lob. 580 :αἰϲθάναι γε: p., haec verba Onesimo tribuit Legr., Smicrini Lef.; νη p., ναί Lef. 581 νυν p., νυνί Croe. alii 582 απανταταγαθα p., ἅπαντ' ἀγαθά Ar. alii, τὰ πάντ' ἀγαθά Ell. Leo 583 ἡ — μέλει versus Euripidis Auges saepe citatus sine fabulae nomine (fr. 920 N.), ex hac fabula eum novit schol. Greg. Naz. ed Piccol. p. 21, cf. Aristaen. Ep. II, 5 ἐπαιϲθάνομαι τῆϲ φύϲεωϲ βουλομένηϲ, ᾗ νόμων ὡϲ ἔοικεν οὐδὲν μέλει 584 μῶροϲ εἶ Sophronae tribuit Leo 588 οὗτοϲ Ar. alii, αὐτόϲ Lef., τέραϲ Capps; πάντ' inseruit Wil., idem εὖ — ϲυνῆκε Onesimo dat, οἶδ' ἔγωγ' Leo 589 ἡ γραῦϲ προτέρα Sud. 590 οὐ γέγονεν Wil. 591 εἰ τοῦτ' Head. Wil.

Fragmenta aliunde nota.

1*.

(Μαγ.) οὐχ ὁ τρόφιμός ϲου, πρὸϲ θεῶν, Ὀνήϲιμε
ὁ νῦν ἔχων ⟨τὴν⟩ Ἀβρότονον τὴν ψαλτρίαν
ἔγημ' ἔναγχοϲ; (Ον.) πάνυ μὲν οὖν.

schol. Aristot. περὶ ἑρμ. (comm. in Arist. IV, 5 p. XXII) = fr. 600 K. τῷ μὲν ἐρωτηματικῷ ταχεῖα ἕπεται ἡ ἀπόκριϲιϲ ὡϲ παρὰ Μενάνδρῳ, οὐχ — οὖν; om. poetae nomine alii 1 Ὀνήϲιμοϲ schol. Aristot. 2 τήν add. Leo Wil. ad nostram fabulam rettulit Croi.; ex initio desumptum esse perspicuum est.

2*. 3*.

(Μαγ.) φιλῶ ϲ' Ὀνήϲιμε,
καὶ ϲὺ περίεργοϲ εἶ.
(Ον.?) οὐδὲν γλυκύτερόν ⟨ἐϲτιν⟩ ἢ πάντ' εἰδέναι.

Elias Prol. philos. (comment. in Aristot. XVIII, 1, 27) = fr. 849, 850 K. δηλοῖ τὸ ἐκ παίδων φιλομύθουϲ ἡμᾶϲ εἶναι καὶ χαίρειν ἐν τῇ περιεργίᾳ, ὥϲ φηϲι Μένανδροϲ „φιλῶ — εἶ". καὶ πάλιν „οὐδὲν γὰρ γλυκύτερον ἢ πάντ' εἰδέναι", alterum fragmentum sine poetae nomine citat Cic. Ep. ad Att. IV, 11 qui γάρ omittit, ἐϲτιν inseruit Cobet. ad Epitrepontes rettulerunt Leeuw. alii, eiusdem scaenae esse videntur ac fr. 1.

4.

(Ον.) τί δ' οὐ ποιεῖϲ ἄριϲτον; ὁ δ' ἀλύει πάλαι
κατακείμενοϲ.

Phot. Ber. p. 83 ἀλύειν τὸ μηδὲν πράττειν. „τί — κατακείμενοϲ". Μένανδροϲ Ἐπιτρέπουϲιν (Ἐπιτρεπούϲῃ cod.); eiusdem scaenae est.

5.

ἀργὸϲ δ' ὑγιαίνων τοῦ πυρέττοντοϲ πολὺ
ἔϲτ' ἀθλιώτεροϲ, μάτην γοῦν ἐϲθίει
διπλάϲια.

Stob. flor. 30, 7 = fr. 175 K. Μενάνδρου Ἐπιτρεπόντων 2 διπλάϲια γοῦν ἐϲθίει μάτην codd., corr. Wil.; a coquo dicta in eadem scaena, ni fallor.

6.

(Μαγ.) ἐπέπασα
ἐπὶ τὸ τάριχος ἅλας, ἐὰν οὕτω τύχῃ.

Athen. III 119e = fr. 178 K. καὶ ἐπὶ αἰτιακῆς (τὸ τάριχος) Μένανδρος Ἐπιτρέπουσιν, sine titulo afferunt alii, coqui esse negat Voll. 2 ἄν codd., corr. Elmsley

7.

ἐλευθέρῳ τὸ καταγελᾶσθαι ⟨γὰρ⟩ πολύ
αἴσχιστόν ἐστι, τὸ δ' ὀδυνᾶσθ' ἀνθρώπινον.

Stob. flor. 89, 5 = fr. 176 K. Μενάνδρου Ἐπιτρέποντος 1 γάρ inseruit Hen., μέν Heringa 2 αἴσχιον libri, corr. Heringa

8.

οὐθὲν πέπονθας δεινόν, ἂν μὴ προσποιῇ.

Or. Anthol. 7, 8 ἐκ τοῦ Γεωργοῦ, sed margini ab eadem manu ascriptum ἐκ τῶν ἀποτρεπόντων, omisso fabulae nomine Stob. flor. 108, 57, Plut. de tranquill. 17, 475 C, omisso poetae fabulaeque nomine alii = fr. 179 K. — οὐθέν A. Stob.

9.

ἐξετύφην μὲν οὖν
κλαίουσα.

schol. Eur. Phoen. 1154 = fr. 184 K. τύφεσθαί ἐστι τὸ τοὺς ὀφθαλμοὺς συγκεχύσθαι Μένανδρος.... ἐν Ἐπιτρέπουσιν. Pamphilae verba paullo ante v. 432 dicta.

10.

ἐχῖνος

Erot. voc. Hippocr. 73, 11 = fr. 185 K. ἔστιν ἐχῖνος χύτρας εἶδος μεγαλοστόμου καὶ μεγάλης. μέμνηται τῆς λέξεως... Μένανδρος ἐν Ἐπιτρέπουσιν. supplevi dubitanter in v. 384.

(ΣΑΜΙΑ)

Personae:

Demeas senex
Parmenon servus
Cocus
Chrysis mulier
Moschion adulescens
Niceratus senex

G_1(R)(Δη.) ο̣ςτ . . . .
ἢ μαίν̣[εται . . . .
λαβὼν ἐπ᾽ ἀγαθ̣[ῷ̣ . . . .
ὡς γὰρ τάχιςτ᾽ εἰςῆλθον, ὑπερεςπουδακὼς
τὰ τοῦ γάμου πράττειν, φράςας τὸ πρᾶγμ᾽ ἁπλῶς
τοῖς ἔνδον ἐκέλευς᾽ εὐτρεπίζειν πάνθ᾽ ἃ δεῖ,
καθαρὰ ποεῖν, πέττειν, ἐνάρχεςθαι κανοῦν.
ἐγίγνετ᾽ ἀμέλει πάνθ᾽ ἑτοίμως, τὸ δὲ τάχος
τῶν πραττομένων ταραχήν τιν᾽ αὐτοῖς ἐνεπόει,
ὅπερ εἰκός. ἐπὶ κλίνης μὲν ἔρριπτ᾽ ἐκποδὼν
τὸ παιδίον κεκραγός, αἳ δ᾽ ἐβόων ἅμα·
„ἄλευρ᾽, ὕδωρ, ἔλαιον ἀπόδος, ἄνθρακας“.
καὐτὸς διδοὺς τούτων τι καὶ ςυλλαμβάνων
ε̣ἰ̣[ς τ]ὸ̣ ταμιεῖον ἔτυχον εἰςελθών, ὅθεν
πλείω προαι̣ρῶν καὶ ςκοπούμενος π̣ά̣λ̣ι̣[ν
οὐκ εὐθὺς ἐξῆλθον. καθ᾽ ὃν δ᾽ ἦν χρόνον ἐγὼ̣

7 ·ΚΑΝΟΥΝ· Lef., alterum punctum non vidit K. 14 ε̣ι̣. .[ο̣] Jen., ε̣ι̣. . Lef. 15 ΠΡΟΑΙΡΩΝ Jen., ΠΡΟΑ.ΡΩΝ Lef. K.; in fine π[α̣]λ̣ (vel χ) ι. Jen., ε̣κ̣. . . dub. Lef., ς̣.χ̣. . K.

---

2 exempli causa K. 3 suppl. Wil. 10 ευθυςεκποδων p., εὐθύς del. Lef. 15 πάλιν Jen., ςυχνά Wil.

ἐνταῦθα, κατέβαιν᾽ ἀφ᾽ ὑπερῴου τις γυνή
ἄνωθεν εἰς τοὔμπροσθε τοῦ ταμιειδίου
οἴκημα· τυγχάνει γὰρ ἱστεών τις ὤν,
ὥσθ᾽ ἥ τ᾽ ἀνάβασίς ἐστι διὰ τούτου τό τε
ταμιεῖον ἡμῖν. τοῦ δὲ Μοσχίωνος ἦν
τίτθη τις αὕτη πρεσβυτέρα, γεγονυῖ᾽ ἐμή
θεράπαιν᾽, ἐλευθέρα δὲ νῦν. ἰδοῦσα δέ
τὸ παιδίον κεκραγὸς ἠμελημένον
ἐμέ τ᾽ οὐδὲν εἰδυῖ᾽ ἔνδον ὄντ᾽, ἐν ἀσφαλεῖ
εἶναι νομίσασα τοῦ λαλεῖν, προσέρχεται
καὶ ταῦτα δὴ τὰ κοινά· „φίλτατον τέκνον“
εἰποῦσα καί· „μέγ᾽ ἀγαθόν· ἡ μάμμη δὲ ποῦ;“
ἐφίλησε, περιήνεγκεν· ὡς δ᾽ ἐπαύσατο
κλᾶον πρὸς αὑτήν φησ[ι]ν· „ὦ τάλαιν᾽ ἐγώ,
πρώην τοιοῦτον ὄντα Μοσχίων᾽ ἐγ[ώ
αὐτὸν ἐτιθηνούμην ἀγαπῶσα, νῦν δ᾽ [ἐπεί
παιδίον ἐκείνου γέγον[ε]ν̣, ἄ̣[λ]λη καὶ τόδ̣[ε“
desunt versus fere quattuor
G$_2$ (V) . . . . -α̣ καί
. . . . γεγο]νέναι
. . . . κ̣ . . . κ̣α̣ὶ̣ θεραπαινιδίῳ τινί
ἔξωθεν εἰστρέχοντι· „λούσατ᾽ ὦ τάλαν
τὸ παιδίον“, φησίν, „τί τοῦτ᾽; ἐν τοῖς γάμοις
τοῖς τοῦ πατρὸς τὸν μικρὸν οὐ θεραπεύετε;“
εὐθὺς δ᾽ ἐκείνη· „δύσμορ᾽ ἡλίκον λαλεῖς“,

19 ΟΙΚΗΜΑ· Lef., punctum omiserunt K. Jen. **33** ΤΟΔ̣ K., quod legi posse concedit Lef. **36** Κ̣ . . . Κ̣Α̣Ι̣ Lef., ... Α̣Ι̣ K. Jen.

---

18 ταμεϊου p., ταμιειδίου Croe, ταμειδίου Hen. **21** post ἡμῖν duo hemistichia excidisse suspicatur Herw. **31** et **32** suppl. Lef. **33** ἄλλη Herw. alii; τόδε Herw. **35** γεγονέναι K.; initio τοιαῦτ᾽ ἐλάλησε suppl. Sud.

φήϲ᾽· „ἔνδον ἐϲτὶν αὐτόϲ“. — „οὐ δήπου γε· ποῦ;“ —
„ἐν τῷ ταμιείῳ“. — καὶ παρεξήλλαξέ τι
„αὐτὴ καλεῖ, τίτθη, ϲε“, καὶ „βάδιζε καί
ϲπεῦδ᾽. — οὐκ ἀκήκο᾽ οὐδέν· εὐτυχέϲτατα.“
εἰποῦϲ᾽ ἐκείνη δ᾽ „ὦ τάλαινα τῆϲ ἐμῆϲ
λαλιᾶϲ“ ἀπῆλθεν ἐκποδών, οὐκ οἶδ᾽ [ὅπο]ι.
κἀγὼ προῆλθον τοῦτον ὅνπερ ἐνθάδε
τρόπον ἀρτίωϲ ἐξῆλθον, ἡϲυχῇ πάνυ,
ὡϲ οὔτ᾽ ἀκούϲαϲ οὐδὲν οὔτ᾽ ᾐϲθημένοϲ.
αὐτὴν δ᾽ ἔχουϲαν αὐτὸ τὴν Cαμίαν ὁρῶ
ἔξω διδοῦϲαν τιτθίον παριὼν ἅμα.
ὥϲθ᾽ ὅτι μὲν αὐτῆϲ ἐϲτι τοῦτο, γνώριμον
εἶναι, πατρὸϲ δ᾽ ὅτου ποτ᾽ ἐϲτίν, εἴτ᾽ ἐμοῦ
εἴτ᾽ — οὐ λέγω δ᾽ ἄνδρεϲ πρὸϲ ὑμᾶϲ τοῦτ᾽ ἐγώ,
οὔθ᾽ ὑπονοῶ, τὸ πρᾶγμα δ᾽ εἰϲ μέϲον φέρω,
ἅ τ᾽ ἀκήκο᾽ αὐτόϲ, οὐκ ἀγανακτῶν οὐδέπω.
ϲύνοιδα γὰρ τῷ μειρακίῳ, νὴ τοὺϲ θεούϲ,
καὶ κοϲμίῳ τὸν πρότερον ὄντι χρόνον ἀεί
καὶ περὶ ἔμ᾽ ὡϲ ἔνεϲτιν εὐϲεβεϲτάτῳ.
πάλιν δ᾽ ἐπειδὰν τὴν λέγουϲαν καταμάθω
τίτθην ἐκείν[ο]υ πρῶτον οὖϲαν, εἶτ᾽ ἐμοῦ
λάθρᾳ λέγου[ϲ]ạν, εἶτ᾽ ἀποβλέψω πάλιν

43 ΤΙΤΘΗ corr. ex ΤΙΤΤΗ Jen., ex ΤΙΤΤΙΝ Lef.; ϹΕ corr. ex ΙΕ K. Jen. 44 ΟΥΔΕΝ corr. ex ΟΙΔΕΝ Lef. 45 ΗΤΑΛΑΙΝΑ potius quam ΩΤΑΛΑΙΝΑ legendum esse censet Lef., sed primam litteram fortasse ex alia esse correctam 53 ΕΜΟΙ „hodie apparet, sed ita ut Υ in charta fuisse potuerit“ Jen., ΕΜΟỊ Lef., ΕΜΟΙ Ri., ΕΜΟỴ potius legit K. 62 ΛΕΓΟΥ.ẠΝ Jen., ΛΕΓΟΥ..Ν Lef. K.

43 post αὐτή distinxit Leeuw. 44 οὐκ — οὐδέν nutrici dat Leeuw. 45 ὦ praetuli 46 suppl. Lef. 47 κωγω p., corr. Lef. 48 ἐϲῆλθον Lef 49 οὐδέν mavult Herw. 52 εϲτιτουτοαυτηϲ p., αὐτῆϲ ἐϲτι τοῦτο Head. alii, ἐϲτιν αὐτῆϲ τοῦτο Croe. 53 ἐμοῦ Lef. 55 οὔθ᾽ i. e. ὃ ἔτι Wil., οὐδ᾽ Maz. 61 πρότερον Eit.

εἰc τὴν ἀγαπῶcαν αὐτὸ καὶ βεβιαcμένην
ἐ]μ̣οῦ τρέφε[ι]ν̣ ἄκοντος, ἐξέcτηχ᾽ ὅλωc.
(V) ἀλλ᾽ εἰc καλὸν γὰρ τοῦτον ε̣ἰ̣[c]ιόνθ᾽ ὁρῶ
τὸν Παρμένοντ᾽ ἐ̣κ τῆc [ἀγορᾶc· ἐα]τ̣έον
αὐτὸν παραγαγεῖν ἐcτ̣ι τού[τουc οὓc ἄγει.
(Παρ.) μάγειρ᾽ ἐγώ̣, [μ]ὰ̣ το̣[ὺ]c̣ θ̣[εούc], οὐκ οἶδα cύ
ἐφ᾽ ὅ τι μαχαίραc περιφ[έ]ρ̣[ειc], ἱκανὸc γὰρ εἶ
λαλῶν κατακόψαι πάντα· π[α]ῦ̣ε̣[νῦν.] (Μα.) ἐ̣θ̣...
ἰδιῶτ᾽. (Παρ.) ἐγώ; (Μα.) δοκεῖc γέ μ̣[οι, ν]ὴ̣ το̣ὺ̣c̣ [θ]ε̣ούc.
εἰ πυνθάνομαι, πόcα[c τραπέ]ζ̣αc μέλλετε̣
ποε̣ῖν, πόcα[ι γυ]ναῖκέc ε[ἰ]cι̣, πηνίκα
ἔcται τὸ δεῖπνον, εἰ δεήcει προcλαβεῖν
τραπεζοποιόν, εἰ κέραμόc ἐcτ᾽ ἔνδοθεν
ὑμῖν ἱ[κ]ανόc, εἰ τοὐπτάνιον κατάcτεγον,
εἰ τἄλλ᾽ ὑπάρχει πάντα — (Παρ.) κατακόπτειc γέ με,
εἰ λανθάνει cε φ̣[ί]λτατ᾽ εἰc περικόμματα,
οὐχ ὡc ἔτυχεν. (Μα.) οἴμωζε. (Παρ.) καὶ cὺ τοῦτό γε
πα[ν]τὸc ἕνεκ᾽· ἀλλὰ παράγετ᾽ εἴcω. (Δη.) Παρμένων.
(Παρ.) ἐμέ τιc καλεῖ; (Δη.) <cὲ> ναιχί. (Παρ.) χαῖρε δεcπότα.

65 ε̣ι̣.ιονθ᾽ Lef. K., cι̣.ι̣ο̣ν̣θ᾽ Jen. 66 ε̣κτηc Lef., .κτηc K. Jen. 69 περιφ.ρ... K., περιφ..... Jen. Lef.; in fine punctum dub. adnotat Lef. 70 παντα·π.ι̣ε̣...: ε̣θ̣.... Jen., πανταπ.......ε̣θ Lef. qui Jenseni lectionem non plane reprobat 71 μ̣...[η̣]τογ c[ο̣]εογc Jen., μ̣....το̣γ̣c̣.ε̣ογc Lef. 72 .....ζ̣αc K. Jen., ...αc Lef.; μελλετε̣ Jen., μελλετ. Lef. K. 73 ποε̣ιν Jen., πο.ιν Lef. K.; ε.cι̣. Lef., ε.c. K. 78 φ̣.λτατ᾽ Jen., ..λτατ᾽ Lef. K.

65 εἰcιόνθ᾽ Leeuw.[1], ἐξιόνθ᾽ Lef., τουτονὶ παρόνθ᾽ Leeuw.[2] 66 ἀγορᾶc Legr. alii; ἐατέον Leeuw. Sud., πειρατέον Croi. alii 67 τούτουc οὓc ἄγει Sud., τοῦτον οἴκαδε Leeuw. 68 μὰ τοὺc θεούc Wil. 69 περιφέρειc Lef. 70 παῦε νῦν dub. K., (Μα.) παῦε, πρὸc θεῶν Leeuw., fortasse recte, παύcει δ᾽ ἴcθ᾽ ὅτι Sud. 71 ἐγώ coquo, δοκεῖc — θεούc Parmenoni tribuit Leeuw., μοι νὴ τοὺc θεούc Croe. Head. 73 εἰcι, πηνίκα Keil 80 πάραγε μ᾽ Eit. 81 cε inser. Wil., ναί inser. Head. Leeuw.

(Δη.) τὴν [cπυρί]δ̣α̣ κ̣αταθεὶc ἧκε δεῦρ'. (Παρ.) ἀγαθῇ τύχῃ.
(Δη.) τοῦ[τον μὲν οὐ]δέν, ὡc ἐγῷμαι, λανθάνει,
τά̣[χ' οἶδ]ε̣ π̣ᾶ̣[ν] πραττόμενον ἔργον· ἐcτὶ γάρ
π̣ε̣ρίεργοc, εἴ τιc ἄλλοc. ἀλλὰ τ[ὴ]ν θύραν
προιὼν πέπληχε. (Παρ.) δίαγε Χρυcί πάνθ' ὅc' ἂ̣ν̣
ὁ μάγειροc αἰτῇ· τὴν δὲ γραῦν φυλάττετε
ἀπὸ τῶν κεραμίων. πρὸc θεῶν, τί δεῖ ποιεῖν
δέcποτα; (Δη.) τί δεῖ ποεῖν ⟨cε⟩; δεῦρ' ἀπὸ τῆ̣c̣ [θύ]ρ̣αc·
ἔτι μικρόν. (Παρ.) ἤν. (Δη.) ἄκουε δὴ νῦν Π[α]ρ[μένων·
ἐγώ cε μαcτιγοῦν, μὰ τοὺc δώδεκα θ[εούc,
οὐ βούλομοι διὰ πολλά. (Παρ.) μαcτιγοῦν; [τί γάρ
πεπόηκα; (Δη.) cυγκρύπτειc τι πρόc μ̣', ἤ̣[cθημ'] ἐγώ.
(Παρ.) μὰ τὸν Διόνυcον, μὰ τὸν Ἀπ[ό]λλ[ω τουτονί,
μὰ τὸν Δία τὸν cωτῆρα, μὰ τὸν Ἀ̣[cκληπιόν —
(Δη.) παῦ, μηδέν' ὄμνυ'· οὐ γὰρ εἰκάζ[ε]ι̣c κ̣[αλῶc.
(Παρ.) ἦ μήποτ' ἆρ' — (Δη.) οὗτοc βλέπε δεῦρ'. (Πα.) ἰδο̣ύ. [(Δη.) λέγε·
I_4 (R) τὸ παιδίον τί̣νοc ἐcτίν; (Παρ.) ἤν. (Δη.) τὸ παιδίον
τίνοc ἔ̣[cτ' ἐρωτ]ῶ. (Πα.) Χρυ[cί]δ[ο]c. (Δη.) πατρὸc δὲ τοῦ;

84 ΤΟ̣....ΕΠΑ̣.. Jen., ΤΟ̣....Ϲ̣ΤΑ̣.. Lef. 85 ΑΛΛΑΤ̣.Ν Jen., ΑΛΛΑ..Ν̣ Lef. 90 ΔΗ corr. ex ΔΕΙ Jen., ΔΕΙ Lef. K. 93 ΠΡΟϹ̣Μ̣Η̣..... Jen., Μ valde incertum videtur Lefeburio 96 ΕΙΚΑΖ.Ι̣Ϲ̣[Κ̣].... Jen., ΕΙΚΑΖ.Ι̣Ϲ..... Lef., K.

---

82 cπυρίδα Leo Maz. 83 τοῦτον μὲν οὐδέν Head. alii 84 τάχ' οἶδε Sud., τούτου δὲ πᾶν Wil., τηρεῖ τὸ πᾶν Maz., τηρεῖ δὲ πᾶν Ro. 89 cε inseruit Wil., ἴθι Leo Maz., ἄγε Lef., ἔτι Sud. 90 δὴ νῦν Παρμένων Lef. 92 τί γάρ Lef., τί οὖν vel με· τί Eit. 93 πρόc μ', ἤcθημ' ἐγώ Wil., transponens ἐγώ e versu sequente 94 initio εγωμα p.; Ἀπόλλω τουτονί Head., Ἀπόλλω 'γὼ μὲν οὐ Croi. alii 95 suppl. Lef. 96 παῦ cf. Phot. s. v.; καλῶc Leo Leeuw. Nic., ἃ δεῖ Sud. 97 (Πα.) ἰδοῦ. (Δη.) λέγε Jen., (Π.) ἰδοῦ, βλέπω Sud. 98 sq. ην· p., (Πα.) ἤν. (Δη.) τὸ παιδίον τίνοc ἔcτ' ἐρωτῶ Jen., τίνοc ἐcτὶ ἐρωτᾶιc; Χρυcίδοc Hous.

ϲọṿ ḍ[έϲποτ᾽. (Δ.) ἀπόλ]ωλαϲ, φενακίζειϲ μ᾽. (Π.) ἐγώ;
(Δη.) ọἶḍạ γạρ ἀκριβῶ[ϲ πάν]τα ḳạὶ πẹ[φραϲτ᾽] ẹṃọị,
ὅτι Μοϲχίωνόϲ ẹ[ϲτιν], ὅτι ϲύνοιϲθα ϲύ,
ọ̔τ[ι τ]ọῖϲ ḳ. . . . . ϲ̣ị νῦν αὕτη τρέφει.
(Παρ.) τ̣ί̣ϲ̣ φη[ϲίν; (Δη.) οὐδείϲ,] ἀλλ᾽ ἀπόκριναι τοῦτό μοι,
τ̣ί̣ν̣ο̣ϲ̣ ἐϲτίν; (Παρ.) εἶ[πον δέϲπ]οτ᾽, ἀλλὰ λανθάνειν —
(Δη.) τ̣ί λανθάνειν; ἱμάντα παῖδέ[ϲ τ]ιϲ δότω
ἐπὶ τουτονί μοι τὸν ἀϲεβῆ. (Παρ.) μή, πρὸϲ θεῶν.
(Δη.) ϲτίξω ϲε, νὴ τὸν Ἥλιον. (Παρ.) ϲτίξειϲ ἐμέ;
(Δη.) ἤḍη γ᾽. (Παρ.) ἀπόλωλα. (Δη.) ποῖ ϲύ, ποῖ μαϲτ̣ιγ[ί]α;
λάβ᾽ αὐτόν. — ὦ πόλιϲμα Κεκροπίαϲ χθονόϲ,
ὦ ταναὸϲ αἰθήρ, ὦ — τί Δημέα βοαῖϲ;
τί βοᾷϲ ἀνόητε; κάτεχε ϲαυτόν, καρτέρει.
οὐδὲν γὰρ ἀδικεῖ Μοϲχίων ϲε. παράβολοϲ
ὁ λόγοϲ ἴϲωϲ ἔϲτ᾽ ἄνδρεϲ, ἀλλ᾽ ἀληθινόϲ.
εἰ μὲν γὰρ ἢ βουλόμενοϲ, ἢ̣ [κατεχόμε]νοϲ

100 ϲọṇ[ạ]. . . . . . . .ạωλαϲ Jen., ϲọ. . . . . .ωλαϲ Lef. K. **101** in fine ẹ.ọị Jen., ẹṃ. . . Lef. qui ultimarum litterarum vestigia non bene quadrare ad οι censet **102** ẹ. . . .οτι Jen., ...ọτι Lef. K. **103** ọτ. . .ọιϲḳ. . . . .[ϲ̣ị] Jen., ϲ̣τ. . .ιϲ̣ḳ. . . . . .τ̣.ị Lef.; αλλ᾽ Lef., .λλ᾽ Jen. **105** τ̣ι̣ṇọϲ̣ dub. K., τ̣ιϲ̣ạ dub. Lef.; :ει. . . . . .οτ Jen., :ε. . . . . .ẹτ Lef. **109** ηληγ᾽: Lef. K. Jen., sed hic propter ligaturam censet ηδη in charta fuisse; μαϲτ̣ιγ.α Jen., μαϲ.ιγ.α Lef. **111** βοαιϲ ex εχειϲ correctum videtur Jensenio **115** ḥ. . . . . . . .ṇοϲ K. Jen., ḥ. . . . . .ọϲ̣ Lef.

100 ϲὸν δέϲποτ᾽ Jen., ϲοῦ νὴ Δί᾽ Lef., ϲόν γ᾽ ἐϲτιν Sud.; ἀπόλωλαϲ Lef. **101** πάντα καὶ πέφραϲτ᾽ ἐμοί Leo, πάλαι τέκνον Sud. **102** suppl. Lef., ἐγένεθ᾽ Sud. **103** ὅτι τοῖϲ Jen., ϲυνειϲκομίϲαϲ ὅ φηϲι νῦν αὕτη τρέφειν Sud. sagaciter, at τρέφειν non est in charta **104** τίϲ φηϲίν Jen., τίϲ ἔφη τάδ᾽ (Δη.) οὐδείϲ Leo, τίϲ ἔφη δέ; (Δη.) μὴ κρύπτ᾽ Leeuw., τί ἔφηϲ; (Δ.) γελοῖον· Sud. **105** εἶπον δέϲποτ᾽, ἀλλά Leo, εἰκόϲ ϲ᾽ οὐδὲ τἄλλα Wil., εἰ μὴ ϲοῦ γε, τἄλλα Sud., εἶπά ϲοί με K. **109** ἤδη γ᾽ Leo Rich., ἢ λέγ᾽ K. Wil. **110** χρονοϲ p., χθονόϲ Lef. cf. Eur. Hipp. 34 **111** cf. Eur. Or. 322 **115** κατεχόμενοϲ Leo, δουλούμενοϲ Sud., πεπληγμένοϲ Herw., κρατούμενοϲ K. Ro., ἢ ᾽ναγκαϲμένοϲ Head.

ἔρωτι ταῦτ᾽ ἔπραξεν, ἢ μιcῶ[ν ἐμέ,
ἣν ἂν ἐπὶ τῆc αὐτῆc διανο[ίαc ἧc] τ̣ὸ̣ π̣[ρίν,
ἐμοί τε πα̣ρ̣α̣τ̣ετ̣αγμένοc. νυνὶ δέ μοι
ἀπολελόγηται τὸν φανέντ᾽ αὐτῷ γάμον
ἄcμενοc ἀκούcαc. οὐκ ἐρῶν γάρ, ὥc ἐγώ
τότ᾽ ᾠόμην, ἔc[π]ευδεν, ἀλλὰ τὴν ἐμήν
Ἑλένην φυγεῖν βουλόμενοc ἔνδοθέν ποτε.
αὕτ[η γάρ] ἐcτιν αἰτία τοῦ γεγονότοc.
κατέλα]βεν αὐτόν που μεθύοντα δηλαδή,
οὐκ ὄν]τ᾽ ἐν ἑαυτοῦ· πολλὰ δ᾽ ⟨ἐξ⟩εργάζεται
τοιαῦτ᾽] ἄκρατοc καὶ νεότηc, ὅταν λάβῃ
τὸν οὐ]κ ἐπιβουλεύcαντά πω τοῖc πληcίον.
ἀλλ᾽ οὐ]δ̣έ̣πω γὰρ πιθανὸν εἶναί μοι δοκεῖ
τὸν εἰc ἅ]π̣ανταc κόcμιον καὶ cώφρονα
τοὺc ἀλ]λ̣οτρίουc εἰc ἐμὲ τοιοῦτον γεγονέναι,
οὐδ᾽ ε]ἰ̣ δεκάκιc ποητόc ἐcτι, μὴ γόνῳ
F_1 (R) ἐμὸc υἱόc. οὐ γὰρ τοῦτο, τὸν τρόπον δ᾽ ὁρῶ.
χαμαιτύπη δ᾽ ἄνθρωποc, ὄλεθροc· ἀλλὰ τί;
οὐ γὰρ περίεcται. Δημέα νῦν ἄνδρα χρή
εἶναί c᾽· ἐπιλαθοῦ τοῦ πόθου, πέπαυc᾽ ἐρῶν,
καὶ τἀτύχημα μὲν τὸ γεγονὸc κρύφθ᾽ ὅcον

117 ΔΙΑΝΟ. . . . Τ̣Ο̣Π̣ . . . Jen., ΔΙΑΝΟ. . . . . Lef. K.
128 . . . . Δ̣Ε̣ΠΩ Jen., ... Δ̣.ΠΩ K., ... ΠΩ Lef.

116 suppl. Lef **117** ἧc τὸ πρίν Her., ὥc τὸ πρίν Croi. **118** παρατεταγμένοc Jen. **119** φανενταδ᾽αυτω p., φανενθ᾽ αὐτῷ Lef. **123** suppl. Lef. **124** κατέλαβεν Leo alii **125** οὐκ ὄντ᾽ Leo alii **125** δ᾽ εργαζεται p., δ᾽ ἐξεργάζεται Head. Rich., δεἰν᾽ inscr. Wil., ἔργ᾽ Leo, δῆτ᾽ Maz. **126** τοιαῦτ᾽ Head., εὖ οἶδ᾽ Wil., cάφ᾽ οἶδ᾽ Her. **127** τὸν οὐκ Croi., παῖδ᾽ οὐκ Wil., καιρόν Herw. Leeuw.; τοι p., πω Ell. alii, ποτε Nic. Rich., τοῖcι Herw. **128** ἀλλ᾽ οὐδέπω Leo, οἶδ᾽. οὐδέπω Leeuw., τοῦτ᾽ οὐδέπω Croi., πλὴν οὐδέπω Sud. **129** et **130** suppl. Croi. **131** οὐδ᾽ εἰ Leo **136** τατυμημεν p., τἀτύχμημα Rich. alii

ἔνεστι διὰ τὸν υἱόν. ἐκ τῆς δ' οἰκίας
ἐπὶ τὴν κεφαλὴν εἰς κόρακας ὦσον τὴν κακὴν
Σαμίαν. ἔχεις δὲ πρόφασιν ὅτι τὸ παιδίον
ἀνείλετ'· ἐμφ[α]νίσῃς γὰρ ἄλλο μηδὲ ἕν.
δακὼν δ' ἀνάσχου, καρτέρησον εὐγενῶς.
(Μαγ.) ἀλλ' ἆρα πρόσθεν τῶν θυρῶν ἐστ' ἐνθάδε;
παῖ, Παρμένων — ἄνθρωπος ἀποδέδρακέ με
ἀλλ' οὐδὲ μικρὸν συλλαβών. (Δη.) ἐκ τοῦ μέσου
ἄναγε σεαυτόν. (Μαγ.) Ἡράκλεις, τί τοῦτο παῖ;
μαινόμενος εἰσδεδράμηκεν εἴσω τις γέρων,
ἢ τί τὸ κακόν ποτ' ἐστί; τί δέ μοι τοῦτο παῖ;
νὴ τὸν Ποσε⟨ι⟩δῶ, μαίνεθ', ὡς ἐμοὶ δοκεῖ,
κέκραγε γοῦν παμμέγεθες. ἀστεῖον πάνυ,
εἰ τὰς λοπάδας ἐν τῷ μέσῳ μοι κειμένας
ὄστρακα ποήσαι πάνθ' ὅμοια. τὴν θύραν
πέπληχεν. ἐξώλης ἀπόλοιο Παρμένων
κομίσας με δεῦρο. μικρὸν ὑπαποστήσομαι.
(Δη.) οὔκουν ἀκούεις; ἄπιθι. (Χρυ.) ποῖ γῆς ὦ τάλαν;
(Δη.) ἐς κόρακας ἤδη. (Χρυ.) δύσμορος. (Δη.) ναί, δύσμορος.
ἐλεεινὸν ἀμέλει τὸ δάκρυον. παύσω σ' ἐγώ,
ὡς οἴομαι — (Χρυ.) τί ποοῦσαν; (Δη.) οὐδέν. ἀλλ' ἔχεις
τὸ παιδίον, τὴν γραῦν· ἀποφθείρου ταχύ.
(Χρυ.) ὅτι τοῦτ' ἀνειλόμην, διὰ τοῦτο καί — (Δη.) τί καί;
διὰ τοῦτο, τοιοῦτ' ἦν τὸ κακόν. (Χρυ.) ⟨οὐ⟩ μανθάνω·
(Δη.) τρυφᾶν γὰρ οὐκ ἠπίστασ'. (Χρυ.) οὐκ ἠπιστάμην;
τί δ' ἔσθ' ὃ λέγεις; (Δη.) καίτοι πρὸς ἔμ' ἦλθες ἐνθάδε
ἐν σινδονίτῃ Χρυσί, μανθάνεις, πάνυ
λιτῷ. (Χρυ.) τί οὖν; (Δη.) τότ' ἦν ἐγώ σοι πάνθ', ὅτε

150 μου p., μοι K. **151** ποιήσαι p. **157** ποιουσαν p. **159** (Δη.) διὰ τοῦτο. (Χρυ.) καί Leo **160** (Χρυ.) οὐ μανθάνω Ell. Wil., νῦν inseruerunt Keil Leo Nic.

φαύλωc ἔπραττεc. (Χρυ.) νῦν δὲ τίc; (Δη.) μή μοι λάλει.
ἔχ]ε̣ι̣c τὰ cαυτῆc πάντα· προcτίθημί coι
ἰδού] θεράπαιναν, χρυcί᾽· ἐκ τῆc οἰκίαc
F_2 (V) ἄπιθι. (Χρυ.) τὸ πρᾶγμ᾽ ὀργή τίc ἐcτι· προcιτέον.
βέλτιcθ᾽ ὅρα — (Δη.) τί μοι διαλέγει; (Χρυ.) μὴ δάκῃc.
(Δη.) ἑτέρα γὰρ ἀγαπήcει τὰ παρ᾽ ἐμοὶ Χρυcὶ νῦν
καὶ τοῖc θεοῖc θύcει. (Χρυ.) τί ἐcτιν; (Δη.) ἀλλὰ cύ
υἱὸν πεπόηκαc, πάντ᾽ ἔχειc. (Χρυ.) οὔπω δάκνει·
ὅμωc — (Δη.) κατάξω τὴν κεφαλὴν ἄνθρωπέ cου,
ἄν μοι διαλέγῃ. (Χρυ.) καὶ δικαίωc· ἀλλ᾽ ἰδού,
εἰcέρχομ᾽ ἤδη. (Δη.) τὸ μέγα π̣[ρ]ᾶ̣γμ᾽ ἐν τῇ πόλει
ὄψει cεαυτὴν νῦν ἀκριβῶc ἥτιc εἶ.
αἱ κατὰ c᾽ ἑταῖραι Χρυcὶ πρ̣αττόμεναι δέκα
δραχμὰc μόναc τρέχουcιν ἐπὶ τὰ δεῖπνα καί
πίνουc᾽ ἄκρατον, ἄχριc ἂν ἀποθάνωcιν, ἢ
πεινῶcιν, ἂν μὴ τοῦθ᾽ ἑτοίμωc καὶ ταχύ
ποῶcιν. εἴcει δ᾽ οὐδενὸc τοῦτ᾽, οἶδ᾽ ὅτι,
ἧττον cὺ καὶ γνώcει, τίc οὖc᾽ ἡμάρτανεc.

165 ΦΑΥΛωC Jen., .ΑΥΛωC Lef. K. 167 .....ΕΡΑΠΑΙΝΑC̣ Jen., puncta ultimae litterae vel duobus ultimis litteris subscripta casu facta esse putat Lef.

---

167 ἰδού Ro., ἔτι K., ταδί· Leo; θεράπαιναν Sud.; Χρυcί Ro., hiatus obstat, at cf. Peric. 405 169 δακῇc Leo, μἀδικῇc Hous. 172 οὕτω Croi., τούτῳ Wil., post οὔπω interpungit Leeuw., οὔπω δάκνει Demeae continuat Sud. 174 καὶ δικαίωc Demeae dant Leo Sud. 175 εἰcέρχομ᾽ ἤδη recte defendit Wil., Demeae dat Ro., ἀπέρχομ᾽ K. Leo, ἐξέρχομ᾽ Croi.; πρᾶγμ᾽ Lef. 177 αἱ κατὰ cὲ Χρυcὶ πραττόμεναι δραχμὰc δέκα | μόναc ἑταῖραι τρέχουcιν ἐπὶ τὰ δεῖπνα καί p., transposuit Leo. 178 servato papyri ordine verborum μόναc ἑταῖραι διατρέχουc᾽ ἐπὶ δεῖπνα Capps, δὴ τρέχουc᾽ ἐπὶ δεῖπνα Croi., ἕτεραι Head. Rich., κόραι Nic., fortasse scribendum ἑτάραι, potuit fieri, ut formae ionicae ἕταροc, ἑτάρη (cf. Hom. Δ 441) Menandri aetate irreperent in sermonem Atticum, cf. Eustath. 1166, 52 = Men. fr. 727 K. 179 in fine
.η.
καί p.

ἔcταθι. (Χρυ.) τάλαιν᾽ ἔγω⟨γε⟩ τῆc ἐμῆc τύχηc.
(Νι.) τουτὶ τὸ πρόβατον τοῖc θεοῖc μὲν τὰ νόμιμα
ἅπαντα ποιήcει θυθὲν καὶ ταῖc θεαῖc.
αἷμα γὰρ ἔχει, χολὴν ἱκανήν, ὀcτᾶ καλά,
cπλῆνα μέγαν, ὧν χρεία ᾽cτὶ τοῖc ᾽Ολυμπίοιc.
πέμψω δὲ γεύcαcθαι κατακόψαc τοῖc φίλοιc
τὸ κῴδιον· λοιπὸν γάρ ἐcτι τοῦτό μοι.
ἀλλ᾽ Ἡράκλειc τί τοῦτο; πρόcθε τῶν θυρῶν
ἕcτηκε Χρυcὶc ἥδε κλάουc᾽· οὐ μὲν οὖν
ἄλλη. τί ποτε τὸ γεγονόc; (Χρυ.) ἐκβέβληκέ με
ὁ φίλοc ὁ χρηcτόc cου. τί γὰρ ἄλλ᾽; (Νι.) ὦ Ἡράκλειc
τίc; Δημέαc; (Χρυ.) ναί. (Νι.) διὰ τί; (Χρυ.) διὰ τὸ παιδίον.
(Νι.) ἤκουcα καὐτὸc τῶν γυναικῶν ὅτι τρέφειc
ἀνελομένη παιδάριον· ἐμβροντηcία.
ἀλλ᾽ ἔcτ᾽ ἐκεῖνοc ἡδύc. (Χρυ.) οὐκ ὠργίζετο
εὐθύc, διαλιπὼν δ᾽, ἀρτ[ί]ωc· ὅc καὶ φράcαc
εἰc τοὺc γάμουc μοι τἄνδον εὐτρεπῆ π[ο]ε[ῖν
μεταξύ μ᾽ ὥcπερ ἐμμανὴc ἐπειcπεc[ών
ἔξωθεν ἐκκέκλεικε. (Νι.) Δημέαc χ[ολᾷ.

desunt versus fere 140

F_3(V)(Δη.) ἄλλα πάλιν ἐλθών; (Νι.) τὸ δεῖνα, μικρὸν ὦ τᾶν· οἴχο̣[μαι,
πάντα πράγματ᾽ ἀνατέτρ[α]π̣ται, τέλοc ἔχει. (Δ.) νὴ ⟨τὸν⟩ Δία,
οὑτοcὶ τὸ πρᾶγμ᾽ ἀκούcαc χαλεπανεῖ, κεκράξεται.
τραχὺc ἄνθρωποc, cκατοφάγοc, αὐθέκαcτοc τῷ τρόπῳ.
ἐμὲ γὰρ ὑπονοεῖν τοιαῦτα τὸν μιαρὸν ἐχρῆν ἐμέ.

183 ἔγωγε Leo Maz. Wil. **192** ποτ᾽ εcτιτο p., ἐcτι induxerunt Head. alii, τό delet Ell. **196** ἐμβροντηcίᾳ Leeuw., ἐμβροντηcίαc Rich. **197** οὐκ — ἀρτίωc Chrysidi dederunt Nic. Wil., αρτ.ωc:οc p. **201** χολᾷ K. alii **202** ἄλλα K., ἀλλά Lef., ἀλλὰ — τᾶν Demeae tribuit Leeuw.; οἴχομαι Wil., οἴχεται Lef. **203** πανταταπραγματ᾽ p., πάντα πράγματ᾽ Herw. Wil., πᾶν, τά Croe. Leo, πάντα. τέλοc ἔ. τ. πρ., ἀν. Croi. Head.; τὸν inser. Croe. alii **205** ἄνθρωποc Lef., ἄνθρωποc Wil.

νὴ τὸν Ἥφαιστον, δικαίως ἀποθάνοιμ' ἄν. Ἡράκλεις
ἡλίκον κέκ[ραγε·] ṭοῦτ' ἦν. πῦρ βοᾷ, τὸ παιδίον
φησὶ [ῥαχ]ιεῖ[ν, φησὶ] πρήσειν, ὑϊδοῦν ὀπτώμενον
ὄψομ[αι]· π̣ά̣[λιν π]έπληχε τὴν θύραν· στρόβιλος ⟨ἤ⟩
σκηπ̣[τός, ⟨οὐκ⟩ ἄ]νθρωπός ἐστι. (Νι.) Δημέα συνίσταται
ἐπ' ἐμὲ καὶ πάνδεινα ποιεῖ πράγμαθ' ἡ Χρυσίς. (Δη.) τί φῄς;
(Νι.) τὴν γυναῖκά μου πέπεικε μηδὲν ὁμολογεῖν ὅλως
μηδὲ τὴν κόρην· ἔχει δὲ πρὸς βίαν τὸ παιδίον
οὐ προήσεσθαί τέ φησιν. ὥστε μὴ θαύμαζ', ἐάν
αὐτόχειρ αὐτῆς γένωμαι. (Δη.) τῆς γυναικὸς αὐτόχειρ;
(Νι.) πάντα γὰρ σύνοιδεν αὕτη. (Δη.) μηδαμῶς Νικήρατε.
(Νι.) σοὶ δ' ἐβουλόμην προειπεῖν. (Δη.) οὑτοσὶ μελαγχολᾶι.
εἰσπεπήδηκεν. τί τούτοις τοῖς κακοῖς τις χρήσεται;
οὐδεπώποτ' εἰς τοιαύτην ἐμπεσών, μὰ τοὺς θεούς,
οἶδα ταραχήν. ἔστι μέντοι τὸ γεγονὸς φράσαι σαφῶς
πολὺ κράτιστον, ἀλλ' Ἄπολλον ἡ θύρα πάλιν ψοφ[ε̣ῖ.
(Χρυ.) ὦ τάλαιν' ἐγώ, τί δράσω; ποῖ φύγω; τὸ παιδίον
λήψεταί μου. (Δη.) Χρυσί, δεῦρο. (Χρ.) τίς καλεῖ μ'; (Δ.) εἴσω τρέχε,
(Νι.) ποῖ σύ, ποῖ φεύγεις; (Δη.) Ἄπολλον μονομαχήσω τήμερον,
ὡς ἔοικ', ἐγώ. τί βούλει, τίνα διώκεις; (Νι.) Δημέα
ἐκποδὼν ἄπελθ'. ἔα με γενόμενον τοῦ παιδίο̣υ̣
ἐγκρατῆ τὸ πρᾶγμ' ἀκοῦσαι τῶν γυναικῶν. (Δ.) μαίνεται̣.

209 ΦΗϹΙ. . .ΙΕΙ. . .ΕΜΠΡΗϹΕΙΝ Jen., ΦΗϹΙ. . .ΕΙ. . . .ΕΜΠΡΗϹΕΙΝ Lef. K. **210** ΟΨΟΜ̣. .Π̣[Α̣]. . . .ΕΠΛΗΧΕ Jen., ΟΨΟΜ̣. .Π̣. . . . .ΕΠΛΗΧΕ Lef. **211** ϹΚΗΠ̣. . . .ΝΘΡΩΠΟϹ Jen., ϹΚΗ. . . . .ΝΘΡΩΠΟϹ Lef. K. **226** ΕΓΩ·Τ̣Ι Jen., punctum non dispexit, sed spatium agnovit Lef.

---

208 suppl. Lef. **209** ῥαχιεῖν dub. K., θύσειν Leo; φησὶ πρήσειν Wil., εἶτα πρήσειν Leo, θύσειν κἀμπυρεύσειν Sud.; υιωδουν p., ὑϊδοῦν Rich. Sud. **210** ὄψομαι πάλιν Jen., ὄψομ.' Wil.; in fine ἤ addidit Lef. **211** σκηπτός, οὐκ Croi., οὐκ in charta excidit, σκ. ἄρ' Ro. **216** τῆς γυναικός ⟨τ'⟩ Leo, τῆς γυναικός Nicerato continuant Leeuw. Leo **217** αὐτή Lef., αὐτῇ Leo

ἀλλὰ τυπτήσεις μ'; (Ν.) ἔγωγε. (Δ.) θᾶττον εἰσφθάρηθι σύ.
ἀλλὰ μὴν κἄγ̣ω̣γ[ε]. φεῦγε Χρυσί, κρείττων ἐστί μου.
(Νι.) πρότερος ἅπτ̣ε̣ι̣ μου σὺ νυνί· τοῦτ ἐγὼ μαρτύρομαι.
(Δη.) ς̣ὺ δ' ἐ[π'] ἐ[λευ]θ̣ε̣ρ̣[α]ν̣ γυναῖκα λαμβάνεις βακτήριον,
καὶ διώ]κεις. (Νι.) συκοφαντεῖς. (Δ.) καὶ σὺ γάρ. (Ν.) τὸ παιδίον
οὐ δίδω]ς̣ ἐμοί; (Δ.) γέλοιον, τοὐμόν; (Ν.) ἀλλ' οὐκ ἔστι σόν.
(Δη.) δεινὸ]ν̣ ὤνθρωποι. (Νι.) κέκραχθι· τὴν γυναῖκ' ἀποκτενῶ
F_4 (R) εἰσιών, τί γὰρ ποήσω; (Δη.) τοῦτο μοχθηρὸν πάλ̣ι̣ν̣.
οὐκ ἐάσω. ποῖ σύ; μένε δή. (Νι.) μὴ πρόσαγε τὴν χεῖρά μοι.
(Δη.) κάτεχε δὴ σ⟨ε⟩αυτόν. (Νι.) ἀδικεῖς Δημέα με, δῆλος εἶ,
καὶ τὸ πρᾶγμα πᾶν σύνοισθα. (Δη.) τοιγαροῦν ἐμοῦ πυθοῦ
τῇ γυναικὶ μὴ 'νοχλήσας μηδέν. (Ν.) ἆρ' ὁ σός με παῖς
ἐντεθρίωκεν; (Δη.) φλυαρεῖς. λήψεται μὲν τὴν κόρην,
ἔστι δ' οὐ τοιοῦτον. ἀλλὰ περιπάτη[σον] ἐ̣νθαδί
μικρὰ μετ' ἐμοῦ. (Νι.) περιπατήσω. (Δη.) καὶ σεα[υτὸν σύλ]λαβε.—
οὐκ ἀκήκοας λεγόν[των], εἰπέ μοι, [Νικήρα]τε

230 κ[ΑΓΩ]Γ. Jen., κ...Γ. Lef. 231 ΑΠΤΕΙ K. Jen., ΑΠ.Ε. Lef. 232 ΣΥΔ'Ε.Ε...ΘΕΡ.. K. Jen., ΣΥΔ'Ε.Ε.ΘΕΡ.Ν Lef. 235 .....Μ K. Lef., prima littera Jensenio potius Ν videtur 236 post ΠΟΗΣΩ lacuna parva, in qua puncta geminata fuisse suspicatur Jen.; ΠΑΛΙΝ Lef., ΠΑΛΙ. vel ΠΟΛΙ. Jen.

229 θᾶττον — σύ Nicerato tribuit Leeuw.; ἐκφθάρηθι Eit. Leeuw.[1] 230 κἄγωγε Leeuw.; ante et post τοῦτ' ἐγὼ μαρτύρομαι puncta geminata, totum versum Nicerato dedit K. 232 σὺ δ' ἐπ' ἐλευθέραν Leo 233 καὶ διώκεις Ro., ἢ γὰρ ἀδικεῖς Leo, οὐκ ἀφήσεις Leeuw., idem καὶ σὺ γάρ Nicerato dat 234 οὐ δίδως K. 235 δεινόν K., ἔστιν Leo, τύπτομ' Wil. 236 τί — ποήσω Demeae tribuit Leo; πάλιν Jen. 238 σεαυτόν Croe. alii, κάτεχε — σεαυτόν Demeae tribuerunt Leo Wil. 241 cf. Hes. s. v. ἐντεθρίωκεν· ἐνείληκεν, ἐσκεύακεν (cf. 254) 242 sq. ενθαδι μικρον | μετ'εμου p. 243 μικρά Croe. alii, βαιά Croi., βραχύ τι Leeuw., μικρόν — (Νι.) οἴμοι περιπατήσω Sud.; σύλλαβε Ell. Wil., κατάλαβε Leo, ἀνάλαβε Croe. Head. Legr. 244 ειπεμοιλεγον[των p., λεγ. εἰ. μ. Head. alii; Νικήρατε Wil., σὺ πώποτε Head.

τῶν τραγῳδῶν, ὡς γενόμενος [χρυσὸς] ὁ̣ Ζ̣[εὺς] ἐρρύη
διὰ τέγους, κατειργμένην δὲ παῖδ᾽ ἐμοίχευσεν π̣[ά]λ̣α̣ι̣;
(Νι.) εἶτα δὴ τί τοῦτ᾽; (Δη.) ἴσως δεῖ πάντα προσδοκᾶν· σκόπει,
το[ῦ] τ̣έ̣γους εἴ σοι μέρος τι ῥεῖ. (Νι.) τό πλεῖστον. ἀλλὰ τί
τ]οῦτο πρὸς ἐκεῖν᾽ ἐστί; (Δ.) τότε μὲν γίνεθ᾽ ὁ Ζεὺς χρυσίον,
τότε δ᾽ ὕδωρ· ὁρᾷς, ἐκείνου τοὖργόν ἐστιν. ὡς ταχύ
εὕρομεν. (Ν.) καὶ βουκολεῖς με. (Δ.) μὰ τὸν Ἀπόλλω ᾽γὼ μὲν οὐ.
ἀλλὰ χείρων οὐδὲ μικρὸν Ἀκρισίου δήπουθεν εἶ·
εἰ δ᾽ ἐκείνην ἠξίωσε, τήν γε σήν — (Νι.) οἴμοι τάλας.
Μοσχίων ἐσκεύακέν με. (Δη.) λήψεται μέν· μὴ φοβοῦ
τοῦτο. θεῖον, ⟨οἶδ᾽⟩ ἀκριβῶς, ἐστὶ τὸ γεγενημένον.
μυρίους εἰπεῖν ἔχω σοι περιπατοῦντας ἐν μέσῳ
ὄ]ντας ἐκ θεῶν, σὺ δ᾽ οἴει δεινὸν εἶναι τὸ γεγονός.
Χαιρεφῶν πρώτιστος οὗτος, ὃν τρέφους᾽ ἀσύμβολον,
οὐ θεός σοι φαίνετ᾽ εἶναι; (Νι.) φαίνεται· τί γὰρ πάθω;
οὐ μαχοῦμαί σοι διὰ κενῆς. (Δ.) νοῦν ἔχεις Νικήρατε.
Ἀνδροκλῆς δ᾽ ἔτη τοσαῦτα ζῇ, τρέχει, πηδᾷ, πολύ
πράττεται, μέλας περιπατεῖ, λευκὸς οὐκ ἂν ἀποθάνοι,
οὐδ᾽ ἂν εἰ σφάττοι τις αὐτόν. οὗτός ἐστιν οὐ θεός;
ἀλλὰ ταῦτ᾽ εὔχου γ̣ε̣νέσθαι [σ]υμφέροντα, θυμία,
θῦε, τὴ]ν̣ κόρ̣ην μέ[τε]ι̣σ̣[ιν] οὑ̣μὸς υἱὸς αὐτίκα·

246 in fine π̣.λ̣α̣ι̣ Lef., π.τε: Jen. 265 initio lacuna 12 fere litterarum, „librarius propter chartam laesam spatium aliquod

---

245 in charta erat ὁ Ζεὺς χρυσός, χρ. ὁ Ζ. Croe. alii 246 διατουτεγους p., τοῦ induxit Lef.; πάλαι Lef., ποτε Legr. Wil. 248 τοῦ τέγους Wil. 255 θειονδ᾽εστινακριβωστο p., θεῖον, οἶδ᾽ ἀκριβῶς, ἐστί Sud., idem servata particula δ᾽ Matz, θ. δ. ἐστ᾽, ἀ. οἶδα Ellis alii, idem sed pro οἶδα ἴσθι Head. 258 de Chaerephonte parasito cf. Ath. VI 243—244a, IV 164f—165a, XIII 584e 261 Ἀνδροκλῆς inscripta erat comoedia Sophili Ath. III 123e, VI 228b; πηδα corr. ex παιδα p., πηδᾷ Croe. Wil. 264 suppl. Lef. 265 suppl. Leeuw., ad μέτεισιν cf. Alex. fr. 163, 4 K.

ἐξ ἀνάγκης ἐστὶ [πει]θόμ[ενος ἐ]μ[ο]ὶ ⟨νῦν⟩· νοῦν ἔχει·
εἰ δ' ἐλήφθη τότ' [ἀδικήσα]ς, [μὴ] παροξύ[ν]ο[υ] τ[ὰ νῦν.
(Νι.) τἄνδον εὐτρεπῆ; (Δη.) ποήσω. (Νι.) τὰ παρ' ἐμοὶ δ' [οὐ κωλύει.
(Δη.) κομψὸς εἶ. χάριν δὲ πολλὴν πᾶσι τοῖς θ[εοῖς ἔχω
οὐδὲν εὑρηκὼς ἀληθὲς ὧν τότ' ᾤμη[ν κατανοεῖν.

I₁ (V) Χοροῦ.

Μος. ἐγὼ τότε μὲν ἧς εἶχον αἰτίας μόλι[ς
ἐλεύθερος γενόμενος ἠγάπη[σα] κ[α]ί
τοῦθ' ἱκανὸν εὐτύχημ' ἐμαυτ[ῷ γενόμ]εν[ο]ν
ὑπέλαβον· ὡς δὲ μᾶλλον ἔννο[υς γ]ίνομαι
καὶ λαμβάνω λογισμόν, ἐξέ[στηκα] νῦν
τελέως ἐμαυτοῦ καὶ παρώξυμ[μαι σ]φόδρα,
ἐφ' οἷς μ' ὁ πατὴρ ὑπέλαβεν ἡμαρ[τη]κέναι.
εἰ μὲν καλῶς οὖν εἶχε τὰ περὶ τὴν κόρην,
καὶ μὴ τοσαῦτ' ἦν ἐμποδών, ὅρκος, πόθος,

liberum reliquisse putandus est" Jen., ΙΙΚΟΡΗΝΜΕ..:Ε.. Jen., ΙΑΚΟΡΗΝΜΕ..Σ.. Lef. 266 ...[Σ]ΟΜ....Ω.Ι·ΝΟΥΝΕΧΕΙ· Jen., ΤΟΥ .ΕΣΟΜ...ΙΜ.Ι·Ν.ΥΝΕΧΕΙ Lef. 267 ΤΟΤΕ.ΙΙ.....Ο..ΠΑΡΟΞ..Σ.Τ..... Jen., ΤΟΤΕ......Ο..ΠΑΡΟΞΥ... Lef. 268 :ΠΟΙΙΣΩ.ΤΑ Jen., :ΠΟΗΣΩ.ΤΑ Lef, lacunam ante ΤΑ sufficere puncto geminato vel simplici uterque monet 274 ΩΣΔΕΜΑΛΛΟΝ Jen., .ΣΔΕΜΑΛΛ.Ν Lef.; .ΙΝΟΜΑΙ Jen., ..ΝΟΜΑΙ Lef. K. 276 .ΦΟΔΡΑ Jen., ..ΟΔΡΑ Lef.

---

266 supplementa incerta temptavi, πρᾶος, μετριάζει Sud. 267 τότ(ε) ἀδικήσας vel τότε λυπήσας dub. K., ταράξας Sud., τεκοῦσα μὴ παροξύνου μάτην Leeuw., βραδύνας, νῦν παρέξω πάντ' ἐγώ Wil.; τὰ νῦν dub. K., (N.) πόει | τἄνδον εὐτρεπῆ Sud. 268 δ' οὐ κωλύει Wil., δῆτ' εὐτρεπῆ Leo 269 κομψοσει: p., quae sequuntur Demeae continuavit Leeuw., Nicerato dedit Wil.; θεοῖς ἔχω suppl. Lef. 270 κατανοεῖν Hen., καταλαβεῖν Sud., εἰδέναι Wil., πραγμάτων Leeuw., δυσχερῶν vel δυσκόλων Eit. 271 μόλις K., πάλιν Sud. 272 ἠγάπησα καί Sud., ἠγάπησα δή Lef. 273 γενόμενον Sud., νενομικώς Hous. 274 ἔννους γίγνομαι Nic. Rich. 275 suppl. Le 276 suppl. Ar. alii

χρόνος, cυνήθει᾽, οἷc ἐδουλούμην ἐγώ,
οὐκ ἂν παρόντα γ᾽ αὖτις ᾐτιάcατο
αὐτόν με τοιοῦτ᾽ οὐδέν, ἀλλ᾽ ἀποφθαρείc
ἐκ τῆc π̣ό̣λεωc ἂν ἐκποδὼν εἰc Βάκτρα ποι
ἢ Κ̣αρία̣ν διέτριβον αἰχμάζων ἐκεῖ.
νῦν δ᾽ οὐ ποήcω διὰ cὲ Πλαγγὼν φιλτάτη
ἀνδρεῖον οὐδέν· οὐ γὰρ ἔξεcτ᾽, οὐδ᾽ ἐᾶι
ὁ τῆc ἐμῆc νῦν κύριοc γνώμηc Ἔρωc.
οὐ μὴν τ̣απε̣[ι]νῶc οὐδ᾽ ἀγεννῶc παντελῶc
π̣α̣ρ[ορ]ᾶ̣[ν με] δ̣[εῖ] τοῦτ᾽, ἀλλὰ τῷ̣ λόγῳ̣ μόνον,
εἰ μηδ̣ὲν ἄλλ᾽, αὐτὸν φοβῆcαι βούλομαι,
φάcκων ἀπαίρειν· μᾶλλον εἰc τὰ λο̣ιπ̣ὰ γάρ
φυλάξετ̣᾽ αὖτιc μηδὲν εἰc μ᾽ ἀγνωμονεῖν,
ὅταν φέροντα μὴ παρέργωc τοῦτ᾽ ἴδῃ.
ἀλλ᾽ οὑτοcὶ γὰρ εἰc δέοντά μ[ο]ι̣ π̣[άν]υ̣
κ̣α̣ι̣ρὸν πάρεcτιν, ὃν μάλιcτ᾽ ἐβουλ̣ό̣[μ]ην.
(Πα.) νὴ τὸν Δία τὸν μέγιcτον, ἀνόητόν τε καί
εὐκαταφρόνητον ἔργον εἴμ᾽ εἰργαcμένοc.
οὐδὲν ἀδικῶν ἔδειcα καὶ τὸν δεcπότην
ἔφυγον. τί δ᾽ ἦν τούτου πεποηκὼc ἄξιον;
καθ᾽ ἓν γὰρ οὑτωcὶ cαφῶc cκεψώμεθ[α·
ὁ τρόφιμοc ἐξήμαρτεν εἰc ἐλευθέρα[ν
κόρην· ἀδικεῖ δήπουθεν οὐδὲν Παρ̣[μένων.
ἐκύηcεν αὕτη· Παρμένων οὐκ α[ἴτιοc.

283 π̣ο̣λεωc Jen., . . λεωc Lef. 284 ηκ.ρια̣ν Lef., ηκ̣α̣ρια̣ν K. 287 τηcε̣μηc Jen., τηc.μηc Lef. K. 289 τ̣α̣πε̣.νωc Jen., τ̣απ. . νωc Lef. 289 πα̣ρ. . α̣ . . . δ̣ . . Jen., de hac lectione dubitat Lef., qui potius legit πορ. . . . . 292 φυλαξε̣τ᾽ Jen., φυλαξ.τ᾽ Lef. K. 295 κ̣α̣ι̣ρον Jen., . . . ρον Lef. K.

---

288 suppl. Croi. 289 παρορᾶν με δεῖ Jen. 294 πάνυ K. Rich. 300—305 ultimas singulorum versuum syllabas suppl. Lef. (303 Croi.)

τὸ παιδάριον εἰcῆλθεν εἰc τὴν οἰκ[ίαν
τὴν ἡμετέραν· ἤνεγκ᾽ ἐκεῖνος, οὐκ [ἐγώ·
τῶν ἔνδον ὡμολόγηκε τοῦτό τιc το[ρῶc.
I_2 (V) τί [Πα]ρμένων ἐνταῦθα πεπόηκεν κακόν;
οὐδέ[ν. τί ο]ὖν οὕτωc ἔφυγεc ἀβέλτερε
καὶ δ[ειλότα]τε; γέλοιον. ἠπείληcέ μοι
ςτίξειν, [ἵνα] μάθῃ [πᾶν]· διαφέρε[ι] δ᾽ οὐδὲ γρῦ
ἀδίκωc [παθεῖν] τοῦτ᾽ ἢ δικαίωc. ἔcτι δέ
π]αντα[χόθε]ν οὐκ ἀcτεῖον. (Μο.) οὗτοc. (Πα.) χαῖρε cύ.
(Μο.) ἀφεὶc ἃ φλυαρεῖc ταῦτα θᾶττον εἴcιθι
εἴcω. (Πα.) τί ποήcων; (Μο.) χλαμύδα κοὶ cπάθην τινά
ἔνεγκέ μοι. (Πα.) cπάθην ἐγώ coι; (Μο.) καὶ ταχύ.
(Πα.) ἐπὶ τί; (Μο.) βάδιζε καὶ cωπῇ τοῦθ᾽ ὅ coι
εἴρηκα πο<ί>ει. (Πα.) τί δὲ τὸ πρᾶγμ᾽; (Μο.) ἢ λήψομαι
ἱμάντα; (Πα.) μηδαμῶc· βαδίζω γ[ά]ρ. (Μο.] [τ]ί οὖν
μέλλειc; — πρόcειcι νῦν ὁ π[α]τήρ· δεήcεται
οὗτοc καταμένειν μου κομιδῇ· δεήcεται
ἄλλωc μέχρι τινόc· δεῖ γάρ· εἶθ᾽ ὅταν δοκῆι,
πε[ι]cθήcομ᾽ αὐτῷ. πιθανὸν εἶναι δεῖ μόνον,

307 ΕΝΤΑΥΘΑ Lef., Ε.ΤΑΥΘΑ K. Jen. 309 ΚΑΙΔ......ΤΕ Jen, ΚΑΙΔ......Ε Lef. 310 Ϲ.ΙΞΕΙΝ...ΜΑΘΗ...·ΔΙΑΦΕΡΕ.Δ᾽ΟΥ[ΔΕ]ΓΡΥ Jen., ϹΤΙΞ (vel Ζ) ΕΙΝ..ΜΑΘΗ...ΔΙΑΦΕΡΕ.....ΕΓΡΥ Lef. 311 ΑΔΙΚωϹ .....Τ Jen. Lef., ΑΔΙΚωϹ......Τ K. 318 Γ.Ρ.ΙΟΥΝ Lef., Γ...ΙΟΥΝ Jen. 319 ΔΕΗϹΗ[ΤΑΙ] Jen., ΔΕΗϹΕ... Lef. 320 ΜΟΥΙΟΜΙΔΗ Jen., ΜΟΥΛΕϹΕΔΗ Lef., qui ΕΔΗ paene certum esse affirmat, ΜΟΥΛΙΘΑΔΙ K. 322 ΔΕΙΜΟΝΟΝ Jen., ΔΕΙ.ΟΝΟΝ Lef.

---

306 τορῶc K., τάλαν Leo, τὸ νῦν Jen., τότε Lef., τὸ πᾶν Rich. 308 εφυγεcουτωc p., οὕτωc ἔφυγεc Head. alii 309 καὶ δειλό-τατε Ar. 310 ἵνα μάθῃ πᾶν Wil., τότ᾽. ἀμαθὴc εἶ· Sud.; δ᾽ οὐδὲ γρῦ Wiebe 311 παθεῖν Ar. Leeuw., ποεῖν Eit. 312 πανταχόθεν Sud., πᾶν ταἰcχρόν Leeuw., πᾶν αἰcχρόν Wil., παντάτοπον K., πάντα τρόπον Sud. 314 ποιηcων p. 317 ειληψομαι p., ἤ (sine signo interrogandi) Leeuw., εἰ Lef., εἶ .λήψομαι Wil. 320 κο-μιδῇ Sud, μοὐνθαδί Leeuw. 321 ἀλλ᾽ ωc p., ἄλλωc Ar. alii

ὅ, μὰ τὸν Διόνυϲον, οὐ δύναμαι ποε̣ῖ̣ν̣ ἐ̣γώ.
τοῦτ' ἔϲτιν· ἐψόφηκε προ[ϊὼν τὴν] θύραν.
(Πα.) ὑϲτερίζειν μοι δοκεῖϲ ϲὺ παντελῶϲ τῶν ἐν̣[θ]ά̣δε
πρα̣γμ[ά]των, εἰδὼ̣ϲ δ' ἀκριβῶϲ οὐδὲν οὐδ' ἀκηκοώϲ
διὰ κενῆϲ ϲαυτὸν ταράττειϲ· εἰ[ϲ]ιὼ̣[ν δ' ε]ἴ[ϲε]ι π[ο]τ̣έ̣.
(Μο.) οὐ φέρειϲ; (Πα.) π̣[ο]ο̣ῦ̣[ϲι] γάρ ϲοι τοὺϲ γάμουϲ, κεράννυται,
θυμίαμ' ἀνάπτεταί ⟨τι⟩ θῦμά θ' Ἡφαίϲτου β̣ί̣α̣ι̣.
(Μο.) οὗτοϲ οὐ φέρειϲ; (Πα.) [ϲ]ὲ γάρ ⟨τοι⟩ περιμένουϲ' οὗτοι πάλαι.
(Μο.) ἐμέ, τί ἐμέ; (Π.) τὴν δ̣ᾶ̣ι̣δα — (Μ.) μέλλειϲ; (Π.) εὐτυχεῖϲ, οὐδὲν κακόν
ἐϲτι̣ ϲοι· θάρρει, τί βούλει; (Μο.) νουθετήϲειϲ μ', εἰπέ μοι,
ἱερ[ό]ϲυλε παῖ; (Πα.) τί π[ο]ιεῖϲ Μοϲχίων; (Μο.) οὐκ εἰϲδραμὼν
θᾶττ]ον ἐξο̣ίϲειϲ ἅ φημι; (Πα.) διακέκομμαι τὸ ϲτόμα.
(Μο.) ἔτι λα]λεῖϲ οὗτοϲ; (Πα.) βαδίζω, νὴ Δί', ἐξεύρηκα δέ
μέγα κ]ακόν. (Μ.) μέλλειϲ; (Π.) ἄγουϲι τοὺϲ γάμουϲ ὄντωϲ. (Μ.) ἴ⟨θι⟩,
ϲπεῦ]ϲ̣ον, ἐξάγγελλέ μοι τι. νῦν πρόϲειϲιν. ἂν δέ μου
μὴ δέη]τ' ἄνδρεϲ καταμένειν, ἀλλ' ἀποργιϲθεὶϲ ἐᾶι
ἀπιένα]ι̣ — τουτὶ γὰρ ἄρτι παρέλιπον — τί δεῖ ποεῖν;

325 ε[ν̣].[α̣]δε Jen., ε̣...δε̣ K. Lef. 326 πρα̣γμ.τω̣ν Jen., πρ.γμ.των Lef. K. 327 ει.ιϲ...ι..ιπ.ιϲ Jen., εμ̣ε...ε̣τ̣'..ο̣ιϲ Lef, ετ̣ι̣ε̣ζ̣...ιπ̣'η̣τει̣ϲ K. 331 την[δ̣α̣ι̣]δα Jen., την..ι̣δα K. Lef. 332 εϲτ̣ιϲοι Jen., εϲτ.ϲο. K. Lef.

324 προϊὼν Leo Sud., προϲιὼν Lef., τὴν θύραν Lef. 325 ἐνθάδε K. alii 327 εἰϲιὼν δ' εἴϲει ποτε Leo, εἴϲιθ' ἱλάϲκου θεούϲ Sud. 328 ποοῦϲι K.; οινοϲκεραν p. (νυται), οἶνοϲ delevit K. 329 θυμίαμ' ἀνάπτεταί τι θῦμα θ' Leo, qui in charta fuisse θυμίαμά τι [θῦ]μά τ' ἀνάπτεται θῦμα τ' Ηφαίϲτου βίαι perspexit, cf. Plaut. Men. 330 330 τοι inser. Leo, δή K., παῖ Hous., καὶ γάρ ϲε Legr., ϲὲ γάρ, ϲέ Sud. 331 δαΐδα K., παῖδα Ar. Leo Sud.; μέλλειϲ Moschioni tribuit Leeuw. 333 ιεροϲυλε: παι p., παῖ Moschioni tribuerunt K. Wil. 334 θᾶττον Lef. 335 ἔτι λαλεῖϲ K. Wil.; in fine εξευρηκατε p., ἐξευρήκατε Leeuw., ἐξεύρηκά τε Lef., ἐξεύρηκα δέ Wil. 336 μέγα κακόν K. Wil., τί τὸ κακόν Croi., φάρμακον Ro.; ἴθι Head., ἰδού K. alii 337 ϲπεῦϲον Ar. Ell. Rich. 338 μὴ δέητ' Head. alii. 339 ἀπιέναι Leeuw. alii

εἰκότ]ω̣c οὐκ ἂν ποήcαι τοῦτ᾽. ἐὰν δέ; πάντα γάρ
γίνε]ται· γέλοιοc ἔcομαι, νὴ Δί᾽, ἀνακάμπτων πάλιν.

340 . . . . . ω̣c K., ... c Lef.

---

340 εἰκότωc Eit., ἀλλ᾽ ἴcωc Legr. Nic. **341** γίνεται Nic. alii

---

